Τοῦ Διονυσίου τοίνυν ἀποχωρήσαντος ἀνήχθη τὸ δεύτερον ἐπὶ τοῦ Οἰκουμενικοῦ θρόνου ὁ αὐτὸς Συμεὼν ὁ Τραπεζούντιος, τίσας τὰς δύο χιλιάδας τῶν φλουρίων· ὁ γὰρ τοῦ δημοσίου καίστωρ, τουρκικώτερον τεφτερδάρης, ἐν τοῖς γραμματείοις τοῦ ἀρχείου εὑρὼν τὰς παρὰ τοῦ Διονυσίου δοθείσας τότε δύο χιλ. φλωρίων, ἧττον τούτων οὐδαμῶς λαβεῖν ἠθέλησε.

Μηχιθ. Συμ. Ιστορ. Ιγμ. 331

Βασιλεία τοῦ Μπαγιαζίτη.

Ἐπανακάμπτων ὁ Μπαγιαζίτης ἀπὸ τῆς Μέκκας μετὰ μῆνας ἐννέα ἔγραψε τῷ υἱῷ αὐτοῦ Κορδοὺκ παρακαλῶν νὰ διαφυλάξῃ τὴν βασιλείαν. Ἔγραψε δὲ καὶ τοῖς προὔχουσι προτρέπων ὑποτάσσεσθαι ἐν πίστει τῷ Κορδούκ· περί τε ἑαυτοῦ ἐζήτει διατρίψαι ἰδιωτικῶς ἐν τῇ Νικαίᾳ πάντα τὸν βίον αὐτοῦ.

Τούτων οὖν τῶν γραμμάτων ἀναγνωσθέντων οἱ προὔχοντες εἶπον τὸ, δέον ἐνεργηθῆναι τὴν τοῦ σουλτὰν Μεχμὲτ παραγγελίαν καὶ τὴν βασιλείαν διαδεχθῆναι τὸν Μπαγιαζίτην. Ὁ Κορδοὺκ οἰκειοθελῶς παραχωρεῖ τὴν βασιλείαν τῷ πατρὶ Μπαγιαζίτῃ, καὶ ἀπαντήσας αὐτῷ παρὰ τῇ Νικαίᾳ μετὰ πάντων τῶν προὐχόντων καὶ τάξεων προσκυνεῖ αὐτὸν ὡς βασιλέα καὶ μετ' αὐτὸν πάντες οἱ προὔχοντες. Εἶτα συνεισελθὼν τῷ πατρὶ εἰς τὴν Πόλιν, ἀνεχώρησεν εὐθὺς διὰ τὴν Μαγνησίαν, κατοικήσας ἐκεῖ μὲ βασιλικὰ μεγάλα σιτηρέσια.

Ταῦτα μαθὼν ὁ ἀδελφὸς τοῦ Μπαγιαζὶτ Δζὲμ ὁ προῤῥηθεὶς, ἀγανακτήσας, ἀναγορεύεται σουλτάνος εἰς τὴν Προύσαν. Ἐκστρατεύει εὐθὺς κατ' αὐτοῦ ὁ Μπαγιαζίτης, συγκροτεῖται πόλεμος σφοδρὸς παρὰ τῇ Προύσῃ· ἡττᾶται ὁ Δζὲμ, φονευθέντων πολλῶν αὐτοῦ στρατιωτῶν, φεύγει σὺν ὀλίγοις εἰς τὸ Χαλέπι, κἀκεῖθεν προσφεύγει εἰς Αἴγυπτον παρὰ τῷ σουλτάνῳ αὐτῆς Καὶτ-πέῃ τῷ Τζερκέζῳ, ὅστις συμβουλεύει αὐτὸν ἀπελθεῖν εἰς προσκύνησιν τοῦ κιαμπὲ καὶ ἀποστῆναι τῶν τοιούτων. Ἀλλ' ὁ Δζὲμ ὑποκριθεὶς ἀκοῦσαι τῆς συμβουλῆς αὐτοῦ, ἀναχωρήσας τῆς Αἰγύπτου διὰ τὴν Μέκκαν τῇ βοηθείᾳ τοῦ Καὶτ-πέη, ἀντὶ τῆς Μέκκας ἔρχεται εἰς τὴν Παφλαγονίαν πρός τινας τῶν φίλων αὐτοῦ, καὶ συναθροίσας στρατὸν, τοὺς λεγομένους Γκιονουλίδες, ἡτοιμάζετο πολεμῆσαι κατὰ τοῦ ἀδελφοῦ· ἀλλ'

αὐτὸς ἀποστείλας στρατὸν φυγαδεύει τὸν Δζὲμ κατασφάξας τοὺς περὶ αὐτόν. Φυγὼν οὖν ὁ Δζέμ, πλοίου ἐπιβὰς ἔρχεται εἰς Ῥόδον, καὶ ἐδεξιώθη αὐτὸν τὰ μέγιστα ὁ Γρὰν Μάστρος τῶν ἐν τῇ Ῥόδῳ χριστιανικῶν ταγμάτων.

Ἔτει σωτηρίῳ 1484, τοῦ Χιτζρὲ 889.

Ὁ σουλτὰν Μπαγιαζίτης ἐλθὼν εἰς τὸν Μωρέαν ἔκτισε δύο ὀχυρώματα εἰς τὸν Ἰσθμόν, ἐν τῷ πεδίῳ ὅπου εἶναι κατὰ σειρὰν τῆς Κορίνθου, διὰ νὰ ἀπαντᾷ τὰς εἰς αὐτὰ τὰ μέρη ἐφόδους τῶν Χριστιανῶν· ἀφῆκε δὲ ἐν τοῖς ὀχυρώμασι καὶ στρατὸν οὐκ ὀλίγον φύλακα.

Εἶτα ἐλθὼν εἰς τὴν Ἀδριανούπολιν διορίζει κτισθῆναι τζαμί, μεδρεσέ, ἰμαρέτι, δαρούλ-χαγιά, ἤτοι παλάτιον βασιλικὸν καὶ λουτρὸν δημόσιον ἐπὶ τῷ ποταμῷ Τούντζα.

Εἶτα ἀπελθὼν εἰς τὴν Μολδαβίαν πολλῇ τῇ δυνάμει, ἡγεμονεύοντος τοῦ Στέφαν-βόδα τοῦ Γ', ὑποτάσσει δύο πόλεις αὐτῆς, τὸ Κελὶ δηλαδὴ κείμενον ἐπὶ τῷ ἀρκτικῷ στομίῳ τοῦ Δουνάβεως, τὸ καὶ πάλαι Λυκόστομος λεγόμενον, καὶ τὸ Ἀκκερμάνι, κείμενον ἐπὶ τοῦ Εὐξείνου Πόντου, τὸ καὶ πάλαι παρ' Ἡροδότῳ Ὀξεῖα λεγόμενον, περίφημον διὰ τὴν ἐν αὐτῷ ἐξορίαν τοῦ ποιητοῦ Ὀβιδίου, ὅθεν καὶ ἡ παρ' αὐτῷ λίμνη καλεῖται λίμνη τοῦ Ὀβιδίου. Κεῖται δὲ ἡ Ὀξεῖα παρὰ τῇ Οὐζοῦ, τὸ πάλαι Ὀλβιοπόλει λεγομένῃ. Διὰ τῆς ἁλώσεως οὖν τούτων τῶν δύο φρουρίων ἐμπόδισεν ὁ σουλτὰν Μπαγιαζίτης τοὺς Μολδαβοὺς ἀπὸ τὰς ἐν τῷ Εὐξείνῳ Πόντῳ πειρατείας, καὶ ἠνέωξεν ἑαυτῷ ὁδὸν ῥᾳδίαν τοῦ ἐφορμᾷν κατὰ τῆς Μολδαβίας.

Τὸν Ἀντιοχείας Μάρκον τὸν Γ', πατριαρχεύσαντα ἔτη εἴκοσι πρὸς τοῖς ἐννέα καὶ θανόντα, διεδέχθη τῷδε τῷ ἔτει 1484 Ἰωακεὶμ ὁ Β'.

Τῷ δ' αὐτῷ ἔτει καὶ ὁ πεϊλέρπεης τῆς Ἀσίας ὑπέταξε τὴν Ταρσὸν τῆς Κιλικίας, τὴν Κουρσουνλὶ καὶ Κόσουνλί, τὰς ἐν τῇ Κιλικίᾳ πόλεις.

Ἔτει σωτηρίῳ 1485.

Ἐπανελθὼν εἰς τὴν Ἀδριανούπολιν ὁ Μπαγιαζίτης φονεύει ἀδίκως τὸν περίφημον στρατηγὸν Γεδὶκ-Ἀχμὲτ-πασσᾶν, συκοφαντηθέντα ὅτι ἐστοχάσθη καθελεῖν τῆς βασιλείας τὸν Μπαγιαζίτην καὶ ἀναβιβάσαι εἰς αὐτὴν τὸν υἱὸν τοῦ Μπαγιαζίτη Ἀχμέτην. Ἔγνω ὕστερον τὴν συκοφαντίαν ὁ Μπαγιαζίτης καὶ ἐλυπήθη ἐπὶ τῷ ἀδίκῳ θανάτῳ.

Ὁ Ἀλιὰ-Δεβλέτης, τοῦ ὁποίου αἱ τότε ἐπαρχίαι εἰς τοὺς γεωγραφικοὺς πίνακας σημειοῦνται τῷ ὀνόματι Ἀλιαΐ-Δεβλέτι-μεμλεκετί, ἢ ἐπαρχία τοῦ Ζιλκαδέρ, περιοριζόμεναι ὑπὸ τοῦ Ταύρου, Ἀντιταύρου, μέρους τῶν ὀρέων τῆς Καππαδοκίας ἐξ ἑνὸς μέρους, καὶ ἀπὸ τὸ ἄλλο μέρος συνορεύεται μὲ τὸ Χαλέπι, ἀπὸ μέρους τῆς Περσίας μὲ τὴν μεγάλην Ἀρμενίαν, ἀπὸ μέρους τῶν ὀθωμανικῶν ἐπαρχιῶν μὲ τὴν Ἀμάσειαν καὶ ἀπὸ

μέρους τῆς Καραμανίας μὲ τὴν Ἄδαναν, ὑποτάσσεται τῷ Μπαγιαζίτῃ· καὶ λαβὼν παρ' αὐτοῦ βοήθειαν πολεμᾶ μὲ τὸν στρατηγὸν τοῦ Καΐτ-πέη τοῦ καὶ σουλτάνου τῆς Αἰγύπτου, καὶ μετὰ πολλοὺς καὶ φρικτοὺς πολέμους ὑποτάσσει τὰς ἐν τῇ Συρίᾳ πόλεις τοῦ Καΐτ-πέη, τὸ Γχιουλὲκ δηλαδή, τὸ Σουὲς, τὰ Ἄδανα, τὸ Καϊσάρι καὶ τὸ Ἀντάπ.

Ὁ Μπαγιαζίτης καταμαθὼν ὅτι ἀπὸ τῆς Τζερκεζίας ἀνὰ ἔτος ἀπέρχονται πολλοὶ Τζερκέζοι εἰς τὸ Μισίρι, καὶ αὐξάνει δι' αὐτῶν καὶ ἀνανεοῖ τὰς δυνάμεις του ὁ Καΐτ-πέης, ἐφορμᾷ πολλῷ τῷ στρατῷ κατὰ τῆς Τζερκεζίας, καὶ λεηλατήσας πᾶσαν τὴν ἐπαρχίαν καὶ λάφυρα πλεῖστα ἀπαγαγὼν κτίζει καὶ φρούρια εἰς τὰ ὄρη αὐτῆς, ἤτοι τὸ Δεμὶρ-καπὶ καὶ τὸ Δερπέντι, καὶ εἰς τὰ παραθαλάσσια τὸ Σοουτζάκι, τὸ Σοχοὺν καὶ τὸ Ἀνάκαρι, μέχρι τοῦδε σωζόμενα, διὰ νὰ ἐμποδίσῃ μὲ αὐτὰ τὴν ἔξοδον τῶν τε Ἀμπαζάδων καὶ Τζερκέζων καὶ τὴν ἀποδημίαν εἰς ἀλλοδαπὰς ἐπαρχίας. Ὅθεν ὁ Καΐτ-πέης, στερηθεὶς νέων στρατιωτῶν, ὑπὸ τῆς λύπης ἀπέθανε.

Θνήσκει ὁ Ἀπτουλάχης, υἱὸς τοῦ Μπαγιαζίτη καὶ ἡγεμὼν τοῦ Ἰκονίου. Πέμπει πάλιν στρατὸν ὁ Μπαγιαζίτης κατὰ τῆς Μολδαβίας καὶ φονεύει πολλοὺς τῶν Μολδάβων.

Ἀποστατοῦσιν οἱ κατοικηταὶ τῆς Παφλαγονίας, τουρκικώτερον Βαρσὰκ λεγομένης, ἀλλὰ πάλιν ὑπετάγησαν.

—

Ἔτει σωτηρίῳ 1486.

Ἐπὶ τῆς πατριαρχείας τοῦδε τοῦ Οἰκουμενικοῦ πατριάρχου Συμεῶνος τοῦ Τραπεζουντίου διετάχθη ἡ ἀκολουθία διὰ τοὺς ἐπιστρέφοντας εἰς τὴν ὀρθοδοξίαν ἀπὸ τῆς παπιστικῆς πλάνης τε καὶ τοῦ σχίσματος, διὸς δ' εἰπεῖν καὶ αἱρέσεως ἢ βλασφημίας, κατὰ τῆς ἐκπορεύσεως τοῦ Ἁγίου Πνεύματος καὶ τῆς τοῦ πάπα μοναρχίας.

Οἱ ἐπικρατοῦντες τῆς ἐν τῇ Ἱσπανίᾳ ἐπαρχίας Ἀνδαλουσίας Μαῦροι μουσουλμάνοι, ἄλλως τῶν Χουλεφᾶ-Ἀπασιγιέδων τοποτηρηταὶ καὶ στρατιῶται, καταπολεμηθέντες ὑπὸ τῶν Ἱσπανῶν, διώκονται ἐκεῖθεν καὶ φεύγουσιν ὁλοκλήρως· οἵ τε μὴ φυγόντες τυραννοῦνται παρὰ τῶν Ἱσπανῶν καὶ βιάζονται καταπτύξαι τὸν μουσουλμανισμόν. Ὅθεν αὐτοὶ γράφουσι τῷ σουλτὰν Μπαγιαζίτῃ καὶ ζητοῦσι παρ' αὐτοῦ βοήθειαν ὡς ἀρχηγοῦ καὶ κεφαλῆς τῆς μουσουλμανικῆς θρησκείας, καὶ ὃς ὑπεσχέθη αὐτοῖς βοήθειαν καὶ ἀντίληψιν.

Πατριαρχεία Ῥαφαὴλ τοῦ Σέρβου.

Ἐλήλυθεν εἰς τὴν Κωνσταντινούπολιν ἐκ τῆς Σερβίας ἱερομόναχός τις Ῥαφαὴλ τοὔνομα, καὶ κατ' ἄλλους Θεοφάνης, ἀνὴρ χαμερπὴς καὶ τῇ μέθῃ ὅλος ἔκδοτος, ὅστις, καίτοι βλακώδης ὤν, γνωρίμους τινας τῶν ἐν τέλει ἐκτή-

σατο, οἷς προσελθὼν ὑπέσχετο ἔρανον κατ' ἔτος τίειν τῷ βασιλέως καίστορι φλωρίων δύο χιλιάδας, καὶ ἐν τῇ προβλήσει αὐτοῦ ἐπὶ τοῦ πατριαρχικοῦ θρόνου φλωρία 500, εἰ πατριάρχην αὐτὸν ἀναδείξωσιν. Ἐκείνων δὲ εἰπόντων ταῦτα τῷ σουλτὰν Μπαγιαζὶτ, ἐπέβη τοῦ Οἰκουμενικοῦ θρόνου, ἐκβληθέντος παραυτίκα τοῦ Συμεῶνος. Στάσεως δὲ γενομένης οὐκ ἤθελον οἱ παρευρεθέντες ἐκεῖσε ἀρχιερεῖς συλλειτουργῆσαι αὐτῷ, καὶ βιασθέντες ὑπὸ τοῦ σουλτάνου τέως συνεκοινώνησαν. Τοσοῦτον δὲ προσέκειτο ταῖς οἰνοφλυγίαις, ὥστε μὴ δύνασθαι στῆναι ἐν ταῖς ἐκκλησιαστικαῖς ἀκολουθίαις, ἀλλ' οὔτε ἐν αὐτῇ τῇ πανσέπτῳ τῶν Παθῶν ἑβδομάδι, οὔτε ἠδύνατο κατέχειν τῇ χειρὶ τὴν ποιμαντικὴν ῥάβδον, ἥτις ἐκπεσοῦσα τῆς χειρὸς αὐτοῦ τῇ Ἁγίᾳ καὶ Μεγάλῃ Πέμπτῃ συνετρίβη.

Μελετ. Ἐκκλ. Ἱστορ. τομ. γ'. σ. 335.

—

Ἔτει σωτηρίῳ 1487.

Ὑπὸ ἀρχιθαλασσίῳ τῷ Κεμὰλ-Ἀλῆ-πασσᾶ πέμψας στόλον πολὺν ὁ Μπαγιαζίτης εἰς τὴν Μεσόγειον θάλασσαν πρὸς βοήθειαν τῶν ἐν τῇ Ἰσπανίᾳ τυραννουμένων, ὡς ἔλεγον, Μαύρων μουσουλμάνων, νικᾷ τὸν στόλον τῶν Χριστιανῶν, λεηλατεῖ τὴν νῆσον τῆς Μάλτας καὶ τὰ παράλια τῆς Ἰταλίας καὶ τῆς Ἰσπανίας, καὶ ἐπανακάμπτουσιν οἱ Τοῦρκοι εἰς τὴν Πόλιν λαφύρων κατάπλεοι.

Διώξας ὁ Φερδινάνδος τῷδε τῷ ἔτει ἀπὸ τῆς Γρανάτης Μαύρους καὶ Σαρακηνοὺς τοὺς ἐπικρατήσαντας αὐτῆς ἔτη ὀκτακόσια, ἐδίωξεν ἐκ τῆς Ἰσπανίας καὶ 120 χιλιάδας Ἑβραίων, γυμνώσας αὐτοὺς πάσης τῆς περιουσίας αὐτῶν κινητῆς τε καὶ ἀκινήτου, οἵτινες καὶ διεσπάρησαν εἰς τὰς ἐπαρχίας καὶ πόλεις τῆς Τουρκίας, καὶ μάλιστα τὴν Θεσσαλονίκην. Καὶ συνεχώρησε τὴν ἁρπαγὴν αὐτὴν ὁ τότε πάπας Ἰννοκέντιος ὁ Η', καὶ τὸν ῥῆγα τῶν Ἰσπανῶν Φερδινάνδον τόνδε τὸν Ε' καθολικὸν ἐπωνόμασε σὺν τοῖς διαδόχοις αὐτοῦ, καινοτομῶν καὶ εἰς τοὺς βασιλικοὺς τίτλους, οὐκ ἀπὸ κανόνος τινὸς συνοδικοῦ ἀλλ' ἐκ τῆς καλουμένης παρ' αὐτοῦ ἰδίας ἄκρας ἐξουσίας, τῆς ἐκ τοῦ ᾅδου καὶ τοῦ Σατανᾶ ἀλλ' οὐκ ἐκ τοῦ Εὐαγγελίου προαχθείσης. Εἰ οὖν καλὸν τὸ διωχθῆναι τοὺς Ἑβραίους ἐκ τῆς Ἰσπανίας, πῶς οὐ διώκει καὐτὸς ὁ γεννάδας αὐτοὺς ἔκ τε τῆς Ῥώμης καὶ ἐκ τῶν λοιπῶν τῶν ὑπ' αὐτῷ πόλεων;

Ἀλλ' οὐ καλὸν πάντῃ. Ἐκ γὰρ τοῦ τοιούτου διωγμοῦ ἄθεον ἠκολούθησε σύμπτωμα. Πολλοὶ γὰρ τῶν Ἰουδαίων μὴ βουληθέντες φυγεῖν γεγυμνωμένοι ὧν εἶχον, ἔμειναν ἐν τῇ Ἰσπανίᾳ λαθόντες, καὶ τῷ μὲν ἰουδαϊσμῷ κρυφίως πιστεύοντες, παῤῥησίᾳ δὲ βαπτιζόμενοι ἐγίνοντο καὶ ἱερεῖς καὶ πνευματικοὶ τῶν Χριστιανῶν. Εἶτα φεύγοντες εἰς τὴν Λιγουρίαν καὶ ἄλλους τόπους ἐνήργουν πάλιν παῤῥησίᾳ τὸν ἰουδαϊσμὸν, καὶ οὐδεὶς τῶν ἀρχόντων πολιτικῶν τε καὶ ἐκκλησιαστικῶν τούτους ἐξέταζε, καὶ διέμενον ἀτιμώρητοι διὰ τὴν ἄθεον αὐτὴν τους πρᾶξιν καὶ τόλμην ἀνύποιστον. Φεύγουσιν οὖν εἰς τὴν Τουρκίαν καὶ μέχρι τοῦ νῦν πολυαρίθμως τοιοῦτοι. Κἀνταῦθα ἐν τῇ Κων-

σταντινουπόλει, ὅπου ταῦτα γράφω, εἷς τῶν πολλῶν ἐκεῖθεν φυγάδων ἦν, ἐπὶ τῆς νεανικῆς μου ἡλικίας, καὶ ὁ ἰατρὸς Φονσέκας Ἑβραῖος, ἱερεὺς ἐκεῖσε ὑπάρξας, ὡς αὐτὸς ἔλεγε καυχώμενος τοῖς ἐμοῖς γεννήτορσιν ἐν τῷ ἰατρεύειν πολλάκις· ἦν γὰρ ἰατρὸς τοῦ σπιτίου μας.

Τὸν Ἀλεξανδρείας Γρηγόριον τὸν ΣΤ', πατριαρχεύσαντα ἔτη εἴκοσι πρὸς τοῖς ἑπτὰ καὶ θανόντα, διεδέχθη τούτῳ τῷ ἔτει Ἰωακεὶμ ὁ πάνυ, ὁ ἐπὶ ἁγιότητι καὶ θαυματουργίᾳ εὐφημούμενος.

—

Ἔτει σωτηρίῳ 1488.

Διαγενομένου τοῦ ἐνιαυτοῦ ὁ Ῥαφαὴλ πληρῶσαι μὴ δυνηθεὶς τὰς ὑποσχεθείσας δύο χιλιάδας φλωρίων καθείργνυται, καὶ μηδαμόθεν ταῦτα ἔχων ἀποδοῦναι ἐδεήθη ἵνα ἐσθ' ὅτε τῆς εἱρκτῆς ἐξέρχηται φέρων τὰς ἁλύσεις ἐπὶ τὸν αὐχένα καὶ διὰ τῶν τῆς Πόλεως ὁδῶν ὡς προσαίτης περιοδεύῃ χρημάτων αἰτήσεως ἕνεκα· οὗ γινομένου ὄνειδον τοῖς πᾶσιν ἐγίγνετο. Καὶ ἐν τοιαύτῃ καταστάσει ὢν τελευταῖον ἀθλίως ἐν τῇ εἱρκτῇ τὸν βίον κατέστρεψε.

ΚΕΦ. ΣΤ'.

Τὰ ἐπὶ τῆς πατριαρχείας Μαξίμου τοῦ Γ', Νήφωνος τοῦ ἀπὸ Θεσσαλονίκης, καὶ δα' πατριαρχεία Διονυσίου τοῦ ἀπὸ Φιλιππουπόλεως.

Συνόδου οὖν ἐν Κωνσταντινουπόλει συγκροτηθείσης προχειρίζεται πατριάρχης ὁ μέγας ἐκκλησιάρχης Μανουὴλ, ὁ τὴν ῥῖνα διασχισθεὶς ἐπὶ τοῦ σουλτὰν Μεχμέτη τοῦ Φετίχη, ὡς προείρρηται, καὶ μετωνομάσθη Μάξιμος ὁ λόγιος, ἀνὴρ διαβεβοημένος ἐπ' ἀρετῇ καὶ τὸν τοῦ θεοῦ λαὸν ἐν παιδείᾳ καὶ νουθεσίᾳ ποιμαίνων, κατὰ πᾶσαν κυριακὴν καὶ ἑορτὴν ἐν τῇ ἐκκλησίᾳ τὸν τοῦ θεοῦ λόγον παῤῥησίᾳ διδάσκων· οὗ ἡ φήμη ἔφθασε καὶ εἰς τὰ ὦτα τοῦ σουλτὰν Μπαγιαζίτη· ὅθεν ἠξίωσεν αὐτὸν ὁ σουλτάνος τὸ ἱερὸν Σύμβολον τῆς τῶν Χριστιανῶν πίστεως αὐτῷ ἀναπτύξασθαι, προτραπεὶς εἰς τοῦτο ὑπό τινων νέων Τραπεζουντίων τῶν ἐντὸς τῶν ἀνακτόρων αὐτοῦ διαγόντων καὶ χριστιανιζόντων εἰσέτι, καὶ ταῦτα ὑπὸ τοῦ υἱοῦ τοῦ Ἀμιρούτζη. Ἀλλὰ καὶ ὡς, τὸ ἐτήσιον τέλος τῶν δύο χιλ. φλωρίων καὶ τὰ ἐν τῇ προβλήσει τοῦ νέου πατριάρχου πεντακόσια φλωρία τὰ παρὰ τοῦ Κα-

1488—

κοραφαὴλ ὑποσχεθέντα καὶ ἐζητεῖτο βιαίως καὶ κατετίετο ἀναγκαίως· τὰ δὲ τῆς ἐκκλησίας ἄλλως εἰρήνην εἶχε παυσαμένων τῶν ἐν τοῖς κληρικοῖς σκανδάλων. Τούτου τοῦ πατριάρχου μνημονεύει καὶ ὁ Ἱεροσολύμων Νεκτάριος.

—

Ἔτει σωτηρίῳ 1489, τοῦ Χιτζρὲ 894.

Ὁ Μπαγιαζίτης πέμπει τὸν Γιακοὺπ-πασσᾶν διὰ νὰ ὑποτάξῃ τὴν Κροατίαν καὶ τὴν Πόσναν. Οὗτος ἐλθὼν μετὰ πολλοῦ στρατοῦ καὶ ἐντυχὼν τῷ χριστιανικῷ στρατεύματι, πολέμου σφοδροῦ συγκροτηθέντος κατακόπτονται οἱ Χριστιανοὶ καὶ αἰχμαλωτίζονται παμπληθεῖς τῶν εὐγενῶν· οὓς ἔπεμψεν ὁ Γιακοὺπ-πασσᾶς τῷ Μπαγιαζίτῃ σὺν τῷ αἰχμαλωτισθέντι στρατηγῷ αὐτῶν γκενεράλῃ Ἀμὴ παρὰ Τούρκοις, καὶ Ἰωάννῃ Τορκοβάτῳ Τάσσῳ τῷ περιφήμῳ. (Εἰ καὶ οἱ Χριστιανοὶ γράφουσιν ὅτι νὰ ἐσκοτώθη ὁ Τάσσος πολεμῶν μετὰ πολλῆς ἀνδραγαθίας, ἀλλὰ οἱ Τοῦρκοι ἐζωγρημένον αὐτὸν γραφῇ παραδεδώκασιν· ὅθεν οὐκ οἶδα τίσι πιστευτέον.)

Ὁ Μπαγιαζίτης τὴν θυγατέρα αὐτοῦ συζεύγνυσι γάμῳ μὲ τὸν Ἀχμὲτ-Μιρζᾶ, τὸν ἐπιλεγόμενον Ὀγούρ-όγλού, (σημαίνει δὲ τὸ μιρζὰ εὐγενής,) καταγόμενον ἀπὸ τῶν διαδόχων τῶν Σκυθῶν τῶν ἐν τῇ πόλει Τέβριζι βασιλευσάντων, ἢ ἀπὸ ἄλλων τῶν ὁποίων ἡ ἀρχαιότης τοῦ γένους εἶναι ἐγνωσμένως παλαιοτάτη. Ἡ δὲ πόλις τὸ Τέβριζι μητρόπολις ἦν ποτε τῆς περσικῆς βασιλείας, καὶ τόγε νῦν ἔχον πόλις ἀξιόλογος καὶ περίπυστος τῶν ἐν τῇ Περσίᾳ πόλεων, τὸ πάλαι Κτησιφὼν καλουμένη.

—

Ἔτει σωτηρίῳ 1490.

Ὁ σουλτὰν Γιακοὺπ, ῥῆξ τοῦ Ἀζερπεγιὰν (ὅπερ ἐστι περσικὴ ἐπαρχία), θνήσκει, καὶ διὰ τὴν κυριαρχίαν καὶ διαδοχὴν τῆς ἐπαρχίας του πολλοὶ σουλτάνοι πολεμοῦσιν ἀναμεταξύ τους, ἐν οἷς καὶ ὁ Μπαγιαζίτης μετὰ τοῦ τζερκέζου σουλτάνου τῆς Αἰγύπτου τοὔνομα Γαβρῆ, τοῦ διαδεξαμένου τὸν Καϊτ-πέην. Πολέμων τοίνυν μεταξὺ τῶν δύο αὐτῶν πολλῶν συγκροτηθέντων, πανταχοῦ ἐνίκων οἱ Τοῦρκοι ἐπὶ ἔτη ὁλόκληρα ἕξ· ὅθεν οἱ Τζερκέζοι παρεχώρησαν πάντα τὰ τοῦ σουλτὰν Γιακοὺπ τοῖς Ὀθωμανοῖς, οἵτινες τῷ ἔτει σωτηρίῳ 1496 καὶ τοῦ Χιτζρὲ 901 ἔμειναν κυριάρχαι παντὸς τοῦ Ἀζερπεγιάν.

—

Ἔτει σωτηρίῳ 1492.

Πέμπει τὸν σουλτὰν Δζὲμ ὁ Γρὰν Μάστρος τῆς Ῥόδου σύν τισι τῶν αὐτοῦ ἱππέων πρὸς τὸν πάπαν Ἀλέξανδρον τὸν ΣΤ΄, τὸν διαδεχθέντα τῷδε τῷ ἔτει Ἰννοκέντιον τὸν Η΄ θανόντα. Ζητεῖ ὁ σουλτάνος παρὰ τοῦ πάπα βοήθειαν κατὰ τοῦ ἀδελφοῦ του Μπαγιαζίτη. Ὅθεν ὁ πάπας πέμψας συνί-

στησιν αὐτὸν εἰς τὸν ῥῆγα τῆς Φράντζας Κάρολον τὸν Η', ὅστις ἡτοιμάζετο τότε νὰ ὑποτάξῃ τὴν ἐν τῇ Ἰταλίᾳ Νεάπολιν. Ὑπεδέχθη τὸν σουλτάνον ὁ ῥὴξ μετὰ τιμῆς καὶ διώρισεν αὐτῷ σιτηρέσιον. Πανταχόσε ὁ σουλτὰν Δζὲμ περιγράφων τὰς δυστυχίας του παρεκάλει τοὺς ῥῆγας τῶν Χριστιανῶν νὰ τὸν βοηθήσουν κατὰ τοῦ ἀδελφοῦ του, ὀμνύων φυλάξαι πάντως ἀλώβητον τὴν συμφωνίαν τῆς εἰρήνης ἣν συνεφώνησεν ὁ πατὴρ αὐτοῦ μὲ τὰ ῥηγάτα τῶν Χριστιανῶν, καὶ ἂν μὲ τὴν βοήθειάν τους βασιλεύσῃ, νὰ μὴν ἀφήσῃ ποτὲ μηδένα τῶν Ὀθωμανῶν ἐφορμῆσαι δυσμενῶς κατά τινος τῶν χριστιανικῶν ἐπαρχιῶν. Οἱ ῥῆγες τῶν Χριστιανῶν φοβούμενοι καὶ τὸ ἁπλῶς ὄνομα τῆς ὀθωμανικῆς βασιλείας ὑπισχνοῦντο αὐτῷ λόγοις τὸ ὅτι πάσῃ δυνάμει βοηθήσουσιν αὐτῷ.

Ἐν τούτοις ὁ σουλτὰν Μπαγιαζίτης ἐλυπεῖτο διὰ τὴν πρὸς τοὺς Χριστιανοὺς καταφυγὴν τοῦ ἰδίου ἀδελφοῦ, ὑποπτευόμενος τὴν παρ' αὐτῶν βοήθειαν πρὸς αὐτόν. Λυπούμενον οὖν αὐτὸν πολλάκις κατιδὼν ὁ μπερμπέρπασής του Μουσταφᾶς, ἐξωμότης ὢν Ἰταλὸς, ζητεῖ ἄδειαν παρὰ τοῦ Μπαγιαζίτη ἀπελθεῖν εἰς τὴν Νεάπολιν, καὶ φονεῦσαι τὸν σουλτὰν Δζὲμ ὑπισχνεῖται. Δεχθεὶς τὴν ὑπόσχεσιν ὁ Μπαγιαζίτης ἀνθυπεσχέθη τὸ, ἂν κατορθώσῃ τὸ ἔργον νὰ τὸν ἀποκαταστήσῃ σαχίπι-δεβλέτ. Καταφυγὼν οὖν ὁ Μουσταφᾶς εἰς τοὺς ἐλτζίδες χριστιανοὺς τοὺς εἰς τὸ Σταυροδρόμι τῆς Κωνσταντινουπόλεως εἶπεν αὐτοῖς ὅτι μετενόησεν ἐπὶ τῇ ἀπιστίᾳ καὶ θέλει χριστιανίσαι, καὶ παρακαλεῖ νὰ τὸν στείλουν κρυφίως εἰς τὴν πατρίδα του τὴν Νεάπολιν. Φθάσας οὖν ἐκεῖσε προσκολλᾶται ἐπιτηδείως εἰς τὴν δούλευσιν τοῦ σουλτὰν Δζὲμ διὰ μπερμπέρπασής του, καὶ μετὰ πολλὰ σφάττει αὐτὸν ἐν τῷ μπαρμπερίζειν, κἀκεῖθεν φυγὼν εἰς τὴν Κρήτην ἐπανῆλθεν εἰς τὴν Πόλιν, καὶ ὁ Μπαγιαζίτης φυλάξας τὴν ὑπόσχεσίν του τὸν ἔκαμεν Ἐπίτροπόν του. Οὕτως οὖν ἐφονεύθη ὁ σουλτὰν Δζὲμ, καὶ εἶναι ψεῦδος ὅπερ ἔγραψαν συγγραφεῖς τινες χριστιανοὶ τὸ ὅτι νὰ τὸν ἐφόνευσεν ὁ πάπας τῆς Ῥώμης Ἀλέξανδρος ὁ ΣΤ'. ὁμοίως ψεῦδος ἐστι καὶ τὸ ὅτι νὰ ἐφαρμακώθη εἰς τὸ Τελακίνον ἀκολουθῶντας τὸν ῥηθέντα ῥῆγα Κάρολον τὸν Η' ἐφορμῶντα κατὰ τῆς Νεαπόλεως.

Ἔπεμψεν οὖν ὁ Μπαγιαζίτης πρέσβεις εἰς τὴν Νεάπολιν ζητῶν τὸν νεκρὸν τοῦ ἀδελφοῦ του, οἵτινες ὑποδεχθέντες παρὰ τῶν Χριστιανῶν φιλοφρόνως καὶ λαβόντες τὸν νεκρὸν ἐκόμισαν τῷ Μπαγιαζίτῃ, ὅστις ἔθαψεν αὐτὸν ἐν τῇ Προύσῃ παρὰ τῷ σουλτὰν Μουράτῃ ἐν τοῖς μνημείοις τῶν σουλτάνων.

—

Ἔτει σωτηρίῳ 1493.

Τὸν Ἱεροσολύμων Γρηγόριον τὸν Β', θανόντα μετὰ τὸ πατριαρχεῦσαι ἔτη τριάκοντα πρὸς τοῖς ἕξ, διεδέχθη Δωρόθεος ὁ Β', καὶ πατριαρχεύει ἔτη 41.

—

'Ετει σωτηρίῳ 1494.

Πατριαρχεία Νήφωνος τοῦ ἀπὸ Θεσσαλονίκης.

Πατριαρχεύσας Μάξιμος ὁ Γ' ἔτη ἓξ θνήσκει, καὶ συναθροίζεται σύνοδος ἐν τῇ Κωνσταντινουπόλει τῶν τε ἀνατολικῶν καὶ δυτικῶν ἐπισκόπων, καὶ ψήφων γενομένων ὡς εἴθιστο, προχειρίζεται πατριάρχης Νήφων ὁ Θεσσαλονίκης μητροπολίτης, ἀνὴρ σοφός τε καὶ λόγιος καὶ τὴν ἀρετὴν περιφανὴς ὑπέρ τις καὶ ἄλλος τῶν ἐπ' αὐτοῦ, ὁρμώμενος ἀπὸ Πελοποννήσου καὶ τὴν μοναχικὴν διαγωγὴν ἐν τῷ Ἄθωνι παιδευθείς.

—

'Ετει σωτηρίῳ 1496.

Βª Πατριαρχεία Διονυσίου τοῦ ἀπὸ Φιλιππουπόλεως.

Πατριαρχεύσας δὲ ἔτη δύο καὶ πρός, βιαίως τοῦ θρόνου ἐξώσθη τῇ κελεύσει τοῦ Μπαγιαζίτη διὰ τῆς συνεργείας τοῦ Ἀμιρούτζη· ζητήσας γὰρ δῶρα παρὰ τοῦ Νήφωνος καὶ μὴ λαβών, δυσχεράνας, τῷ αὐτοκράτορι αὐτὸν διέβαλε τῆς τοῦ πατριάρχου Συμεῶνος περιουσίας ἕτερόν τινα εἶναι κληρονόμον ἀλλ' οὐ τὸν Νήφωνα κατειπών, ὃν πλαστὸν κληρονόμον καὶ διὰ μαρτύρων ἐπιπλάστων ἀπέδειξεν. (Ὑπέπεσεν οὖν βασιλικῇ ὀργῇ καὶ ἐξώσθη ὁ Νήφων, ὅτι τὰ δημοσιευθέντα τοῦ πατριάρχου Συμεῶνος δι' ἐπιπλάστου τινὸς Βασιλείου ἀνεψιοῦ ἠθέλησεν ἀνακτήσασθαι τῇ ἐκκλησίᾳ.) Ὅθεν ὁ Μπαγιαζίτης τὴν περιουσίαν τοῦ Συμεῶνος δοθῆναι τῷ δημοσίῳ προσέταξε, παρὰ τὰς συνθήκας καὶ τοὺς δοθέντας ὁρισμούς, πρὸς δὲ τῇ τοῦ Συμεῶνος περιουσίᾳ καὶ πάντα τὰ σκεύη τοῦ πατριαρχείου δημόσια ἐγεγόνει.

Ἐξωσθέντος οὖν τοῦ Νήφωνος δίδωσιν ἄδειαν ὁ Μπαγιαζίτης τοῖς ἐν Κωνσταντινουπόλει κληρικοῖς τοῦ ἐκλέξασθαι πατριάρχην ἕτερον ἀντὶ τοῦ Νήφωνος. Ὅθεν μετακαλοῦνται ἀπὸ τῆς Κοσινίτζης τὸν προρρηθέντα Διονύσιον, καὶ ἐλθὼν ἀναβιβάζεται τὸ δεύτερον βίᾳ καὶ ἄκων εἰς τὸν θρόνον, ποικίλαις ἀρεταῖς κοσμούμενος, καὶ ταῦτα ἀκτημοσύνῃ, νηστείαις, προσευχαῖς, ἐλεημοσύναις, ταπεινότητι καὶ ἄλλοις ἀγαθοῖς.

—

'Ετει σωτηρίῳ 1497, τοῦ Χιτζρὲ 902.

Ὁ Μπαγιαζίτης ἀποστείλας τὸν ναύαρχον Νασοὺ-πέην μὲ στόλον πολιορκεῖ τὴν Ῥόδον, καὶ γίνεται αἱματοχυσία τῶν Χριστιανῶν. Ἔμπης λύει τὴν πολιορκίαν οὐδὲν κατορθώσας.

—

—1501

Ἔτει σωτηρίῳ 1498, τοῦ Χιτζρὲ 903.

Ὁ Ἀχμὲτ-Μιρζᾶς, γαμβρὸς τοῦ Μπαγιαζίτη, προφάσει θήρας ἐξελθὼν τῆς Πόλεως ἐφορμᾷ κατὰ τῆς πόλεως Τέβρισι καὶ οἰκειοποιεῖται αὐτὴν, ὀνομασθεὶς αὐτῆς σουλτάνος.

—

Ἔτει σωτηρίῳ 1499, τοῦ Χιτζρὲ 904.

Ὁ Μπαγιαζίτης ἄρχεται κτίζειν παρὰ τῷ Ἐσκὶ-σαράϊ τὸ τανῦν λεγόμενον Σουλτὰν-Μπαγιαζὶτ-τζαμισὶ μαζὴ μὲ τὰς πέριξ πολυδαπάνους οἰκοδομὰς, κείμενον παρὰ τῷ ἐπὶ τῶν Ῥωμαίων βασιλέων Χαλκοπράτῃ λεγομένῳ, καὶ ἐτελείωσαν ταῦτα εἰς ἔτη ὀκτώ.

ΚΕΦ. Ζ′.

Τὰ ἐπὶ τῆς πατριαρχείας Μαξίμου τοῦ Δ′, καὶ τῆς βας πατριαρχείας τοῦ Νήφωνος, καὶ Ἰωακεὶμ τοῦ Δράμας, καὶ Παχωμίου τοῦ Ζιχνῶν μητροπολίτου.

Ὁ πατριάρχης Διονύσιος πατριαρχεύσας ἔτη δύο καὶ μῆνας ἓξ πάλιν παρῃτήσατο, καὶ ἀναβιβάζεται εἰς τὸν θρόνον ὁ μητροπολίτης Σερρῶν Μανασσῆς, μετονομασθεὶς Μάξιμος· ὃς ἐν πλείστοις τῶν ἀθεμίτων καὶ ἀπαισίων κατηγορηθεὶς, οὐδὲν ἀληθὲς κατ' αὐτοῦ ἀπεδείχθη. Μεγ. Συναγ. Ἐθν. Λογ. σ. 339.

—

Ἔτει σωτηρίῳ 1500, τοῦ Χιτζρὲ 905.

Ἐφορμᾷ μὲ στόλον ὁ Μπαγιαζίτης κατὰ τῆς Ἑλλάδος καὶ ὑποτάσσει τὸ Ἰνεπαχτὶ αὐτοπροσώπως.

—

Ἔτει σωτηρίῳ 1501, τοῦ Χιτζρὲ 906.

Ὑποτάσσει πολέμῳ τὴν Μοθώνην καὶ βιάζεται τὴν Κορώνην νὰ παραδοθῇ.

—

Ἔτει σωτηρίῳ 1502, τοῦ Χιτζρὲ 907.

Οἱ Φράγκοι Βενετοὶ ἐφορμῶσι στόλῳ κατὰ τῆς Μιτυλήνης, ἀλλ' ὡς ἱστὸς ἀράχνης διελύθησαν, φανέντων 50 κατέργων ἅπερ ὁ Μπαγιαζίτης ἐκεῖσε πρὸς βοήθειαν τῆς νήσου ἐξέπεμψεν.

Εἰρηνεύει μὲ τοὺς Ἐνετούς, διὰ νὰ ξεκουράσῃ τὸν στρατόν του, διὰ τῆς ἐπιμελείας τοῦ Ἀνδρέου Γρίτη, ὅστις τότε ἦν αἰχμάλωτος ἐν τῇ αὐλῇ τοῦ Μπαγιαζίτη. Μὲ αὐτὴν τὴν εἰρήνην ἡ Λευκαδία καὶ Νερίτη εἰς τοὺς Τούρκους ἐπεστράφη παρὰ τῶν Ἐνετῶν, καὶ ἡ Κεφαληνία εἰς τοὺς Ἐνετοὺς ἐπεστράφη παρὰ τῶν Τούρκων. Μετὰ τὴν εἰρήνην ἀπῆλθεν ὁ Μπαγιαζίτης εἰς Κωνσταντινούπολιν.

—

Ἔτει σωτηρίῳ 1503, τοῦ Χιτζρὲ 908.

Ὁ προῤῥηθεὶς Οὐζοὺν Χασάνης, βασιλεὺς τῆς Ἀρμενίας, ὁ καὶ τὸ τῆς Περσίας βασίλειον χειρωσάμενος, καὶ πρῶτος ὑπάρξας βασιλεὺς τῶν Τουρκμένιδων, ἐπονομαζομένων τοῦ Λευκοῦ Ἀετοῦ, εἶχε συζεύξει εἰς γάμου κοινωνίαν τὴν θυγατέρα του ἀνδρί τινι τῶν ἀπογόνων τοῦ Χουσεΐνι, δευτέρου υἱοῦ τοῦ Χαλίφου Ἀλῆ, τῶν Χουλεφαΐ-Ῥασιδίν. Ἐκ τούτων ἐγεννήθη ὁ σὰχ Ἀϊδὰρ, ὃ σημαίνει λέων. Τελευτήσαντος οὖν τοῦ Οὐζοὺν Χασάνη, ἔτει σωτηρίῳ 1485, καὶ τοῦ υἱοῦ αὐτοῦ δηλητηρίῳ δολοφονηθέντος ὑπὸ τῆς αὐτοῦ γυναικός, ἡ βασιλικὴ ἀξία προσηνέχθη τῷ ἐγκόνῳ αὐτοῦ σὰχ Ἀϊδάρ· (οὗτος ἐφεῦρε πρῶτος ἐν τῇ Περσίᾳ σαρίκι κόκκινον, διορίσας νὰ φοροῦν οἱ ὑπήκοοί του, καὶ ὠνομάσθη Ἀ ϊ δ ά ρ-τ α τ ζ ί· ὅθεν οἱ Τοῦρκοι διὰ καταφρόνησιν ὀνομάζουν τοὺς Πέρσας κ ι ζ ί λ-μ π ά ς·) οὗτινος φονευθέντος ἐν τῷ πολέμῳ ὑπὸ τοῦ βασιλέως τῆς ἐπαρχίας Σιρβὰν συνεφονεύθησαν καὶ πάντα τὰ τέκνα καὶ συγγενεῖς του. Ἀλλ' εἷς τῶν υἱῶν αὐτοῦ, Ἰσμαὴλ τοὔνομα, φυγὼν ἐσώθη ἐν τῇ Ὑρκανίᾳ, τῇ τανῦν Γκιλὰν λεγομένῃ, καὶ ὕστερον 300 χιλ. στρατοῦ συναθροίσας τῆς Περσίδος ἐκράτησε καὶ ἐβασίλευσεν αὐτῆς, ὀνομασθεὶς Σοφὶ-Ἰσμαὴλ. Ἐβασίλευσεν οὖν τῆς Περσίδος ἐν τούτῳ τῷ ἔτει καὶ τοῖς ἐφεξῆς ὁ Σοφὶ-Ἰσμαὴλ, ἄλλως σὰχ Ἰσμαὴλ, θανάσιμος ἐχθρὸς τῶν Ὀθωμανῶν, συνετὸς λίαν καὶ διὰ τοῦτο σοφός, καὶ κατα διαφθορὰν σ ο φ ὶ ἐπικληθείς.

Θανόντος τοῦ πάπα Ἀλεξάνδρου ΣΤ' γίνεται πάπας Πῖος Γ', Σεπτεμβρίου κγ' τοῦδε τοῦ ἔτους. Καὶ τούτου μετὰ ἡμέρας 26 δηλητηρίῳ φαρμάκῳ θανόντος γίνεται πάπας Ἰούλιος Β', Νοεμβρίου ά τοῦδε τοῦ ἔτους.

—

Ἔτει σωτηρίῳ 1505, τοῦ Χιτζρὲ 910.

Βα Πατριαρχεία τοῦ Νήφωνος.

Ὁ προῤῥηθεὶς Μάξιμος ὁ Δ' πατριαρχεύσας ἔτη ἓξ καὶ σκανδάλοις πε-

ριπεσών, Γαβριὴλ τινι μοναχῷ τῶν ἐκ τοῦ Ἄθωνος διενεχθεὶς, τοῦ θρόνου ἐξεβλήθη· καὶ συνόδου γενομένης αὖθις ἐπὶ τὸν θρόνον προεβιβάσθη τὸ δεύτερον Νήφων ὁ προῤῥηθείς.

—

Ἔτει σωτηρίῳ 1506, τοῦ Χιτζρὲ 911.

Πατριαρχεία Ἰωακεὶμ τοῦ Δράμας.

Ἀλλὰ καὶ οὗτος πατριαρχεύσας ἔτος ἓν, σκανδάλων οὐ τῶν τυχόντων συμβάντων αὐτῷ παρά τε τοῦ πατριαρχεύσαντος Μαξίμου τοῦ Δ' καὶ τινων μητροπολιτῶν, ἐξεβλήθη, καὶ ἀνεβιβάσθη εἰς τὸν πατριαρχικὸν θρόνον Ἰωακεὶμ ὁ Δράμας· ὅστις ἦν νέος μὲν τὴν ἡλικίαν, χρηστὸς δὲ τὴν γνώμην καὶ ἄριστος, ὅθεν καὶ παρὰ πάντων ἠγαπᾶτο.

Ὁ πάπας Ἰούλιος Β' ὁ προῤῥηθεὶς ἤρξατο ἀνεγείρειν ἐκ βάθρων τὸν ἐν τῇ Ῥώμῃ πολυέξοδον καὶ ὑπερμεγέθη ναὸν τοῦ Ἁγίου Πέτρου, πάλαι ποτὲ ὑπὸ τοῦ μεγάλου Κωνσταντίνου κτισθέντα καὶ ἀνακαινισμοῦ χρήζοντα, τῷδε τῷ ἔτει 1506 Ἀπριλ. ις'.

—

Ἔτει σωτηρίῳ 1507, τοῦ Χιτζρὲ 912.

Ὁ σουλτὰν Μπαγιαζίτης κτίζει εἰς τὴν Ἀμάσειαν τζαμὶ μεγαλοπρεπέστατον, οὐδὲν λειπόμενον τοῦ ἐν τῇ Κωνσταντινουπόλει. Ἀνακτίζει τὰ τείχη τῆς πόλεως ὑπὸ σεισμοῦ πεσόντα εἰς πολλὰ μέρη, ἔκτισε καὶ ἰμαρέτια καὶ μεδρεσέδες πολυάριθμα, καὶ ἐπὶ τὸν ποταμὸν Κιλὶζ-Ἰρμὰκ παρὰ τῷ Ὀσμαντζίκι ἔκτισε γέφυραν ἐκ μαρμάρων μὲ 19 στοὰς καὶ ἄλλην ἐκ λίθων ξυστῶν ἰσάριθμον ταύτῃ κατὰ τὰς στοὰς ἐπὶ τῷ ποταμῷ Γκιὸζσουt εἰς τὴν ἐπαρχίαν Σαρὶ-χὰν λεγομένην.

Τὸν Ἀντιοχείας Ἰωακεὶμ Β' πατριαρχεύσαντα ἔτη εἴκοσι πρὸς τοῖς τρισὶ καὶ θανόντα τῷδε τῷ ἔτει διεδέχθη Γρηγόριος Γ'.

—

Ἔτει σωτηρίῳ 1510, τοῦ Χιτζρὲ 916.

Σεϊτὰν-Κουλοὺ τις τοὔνομα, ἀνὴρ μάγος τε καὶ δόλιος, μετήλλαξε τὴν διδασκαλίαν τοῦ κουρανίου καὶ ἐξαπατήσας τὰ πλήθη τὰ ἐν τῇ Μπέη-Μπασὰρ ἐπαρχίᾳ ἀπέκτησεν ὀπαδοὺς ἀναριθμήτους, ὑποκρινόμενος καὶ τὸ θαυματουργεῖν, ὅθεν καὶ στρατοῦ κύριος ἐγένετο. Ταῦτα μαθὼν ὁ σουλτὰν Μπαγιαζίτης πέμπει κατ' αὐτοῦ τὸν Ἀλὴ-πασσᾶν, οὗ φανέντος ἐγκαταληφθεὶς ὑπὸ τῶν ἰδίων ὁ Σεϊτὰν-Κουλοὺ φεύγει εἰς τὴν Περσίαν παρὰ τῷ σὰχ Ἰσμαὴλ, Σοφὶ τῶν Περσῶν, ὃν καὶ τοὺς αὐτοῦ ὑποχειρίους ἐξαπατήσας διέσπειρε τὴν κατ' αὐτὸν διδασκαλίαν τοῦ κουρανίου καὶ ἐγένετο αἴτιος τῆς μεταξὺ Τούρκων καὶ Περσῶν διαφορᾶς εἰς τὰ τῆς θρησκείας· ὧν

οἱ μὲν δέχονται καὶ τοὺς τέσσαρας διαδόχους τοῦ Μωάμεθ ὡς γνησίους χαλίφιδες, οἱ δὲ Πέρσαι μόνον τὸν τέταρτον, τὸν Ἀλῆν δηλαδὴ, βλασφημοῦντες τοὺς λοιποὺς τρεῖς.

Ἐν τῇ Γερμανίᾳ Ἰωάννης ὁ Ῥευχλινὸς, ὁ ἐξ Ἰουδαίων χριστιανίσας, λέγει τῷ καίσαρι Μαξιμιλιανῷ, ἄλλως Μαξίμῳ, παραδοθῆναι πυρὶ πάντα τὰ τῶν Ἑβραίων βιβλία παρὰ τὴν θείαν Γραφὴν, καὶ τούτου γενομένου ῥαδίως τοὺς Ἰουδαίους χριστιανίσαι. Ὁ Μαξιμιλιανὸς διώρισε τὸ πρᾶγμα εἰς τὴν ἐξέτασιν τῆς ἐν Κολώνῃ ἀκαδημίας καὶ τῆς ἐν τῇ Ῥώμῃ ἐκκλησίας καὶ τοῦ ἐπισκόπου τῆς Μογουντίας. Διαφωνίας οὖν μεταξὺ αὐτῶν γενομένης καὶ ἐς τὰ μάλιστα ἐπιταθείσης εἰς κενὸν ἀπέβη τὸ ζήτημα.

Ὁ πατριάρχης Ἰωακεὶμ ἐπικουρίας χάριν ἐν τῇ Ἰβηρίᾳ ἐπιδημήσας οὐ τῆς τυχούσης ὑποδοχῆς, φιλοτιμίας τε καὶ ἐπικουρίας παρὰ τοῖς ἐκεῖσε προὔχουσιν ἀπήλαυσε.

Λέγεται δὲ Ἰβηρία τὸ διάστημα τοῦ τόπου ὁποῦ εἶναι μεταξὺ τοῦ Εὐξείνου Πόντου καὶ τῆς Κασπίας θαλάσσης, καὶ διαιρεῖται εἰς δύο, εἰς τὴν κάτω καὶ εἰς τὴν ἄνω. Καὶ ἡ μὲν κάτω Ἰβηρία ἡ συνορεύουσα μὲ τὴν Μεγκρελίαν λέγεται ἁπλῶς Ἰβηρία καὶ Καρτέλι, καὶ ἔχει καὶ κάστρον παράλιον λεγόμενον Πατοὺν, ἐξουσιαζόμενον παρὰ τῶν Τούρκων, ὅπου καὶ ὀρτάς· καὶ ἐν τῇ ἐπαρχίᾳ ἔχει πόλιν τὸ Τίφλισι, οὕτω λεγόμενον διὰ τὰ ἐν αὐτῷ ἀξιόλογα θερμὰ ὕδατα. Ἐν δὲ τῇ ἐν τῷ Τίφλισι ἐκκλησίᾳ τοῦ ἐπισκόπου, ὅστις ἐπονομάζεται καθολικὸς, σώζεται ἧλος τοῦ τιμίου Σταυροῦ, ἐν διαχρύσῳ καὶ λιθοκολλήτῳ καὶ διαμαργάρῳ θήκῃ. Οἱ ποταμοὶ Ἄραβος καὶ Κῦρος ἑνοῦνται ἄνωθεν τοῦ Τίφλισι ὡσεὶ ὥρας ἕξ, ὅπου καὶ ἡ καθολικὴ ἐκκλησία τῶν Ἰβήρων, λεγομένη Σχέτα, κειμένη ἐν τῇ γωνίᾳ τῇ γιγνομένῃ ἐκ τῆς ἑνώσεως τῶν δύο ποταμῶν, ὧν ἑκατέρωθεν, κατὰ τὸν Στράβωνα, ἦσαν δύο φρούρια, τὸ μὲν ἐπὶ τῷ ποταμῷ Κύρῳ, Ἁρμοζικὴ καλούμενον, τὸ δὲ ἐπὶ τῷ ποταμῷ Ἀράβῳ, Σεῦμαρα ὀνομαζόμενον, ἀπέχοντα ἀλλήλων ὡσεὶ στάδια 16. Βατός ἐστι τὸν Αὔγουστον ὁ ποταμὸς Κῦρος, ὕδωρ ἔχων ὀλίγον μὲν ἀλλ' εἰς ἄκρον ψυχρότατον, καὶ διαβαίνουσιν αὐτὸν ἱππόται. Ὁ ἡγεμὼν τοῦ Τίφλισι παρὰ τὸ κύριον ὄνομα ὀνομάζεται μέπες, ὅπερ ἰβηριστὶ σημαίνει βασιλεύς. Ἔχει δὲ καὶ ἄλλας ἐπαρχίας ἡ κάτω Ἰβηρία, οἷον τὸ Ἰμαρέτι, ὑποτασσόμενον τῷ σουλτάνῳ τῆς Κωνσταντινουπόλεως, ὥσπερ καὶ τὸ λοιπὸν ἅπαν Καρτέλι, καὶ τὸ Κουτατήσιον, πρώτην πόλιν τοῦ Ἰμαρετίου, ὅπου διωρίσθησαν οἱ Ὀθωμανοὶ ἔτει 1678. Ἔχει δὲ καὶ ἄλλην πόλιν τὸ Ἰμαρέτι, τὴν Κελάτην· οὗ ἐν τῷ μοναστηρίῳ σώζεται καὶ ἕτερος ἧλος τοῦ τιμίου Σταυροῦ ἐν παρομοίᾳ θήκῃ μὲ τὴν σωζομένην ἐν τῇ ἐκκλησίᾳ τοῦ Τίφλισι. Τὴν δὲ ἐν τῇ Κελάτῃ εἰκόνα τῆς Θεοτόκου θέλουσιν οἱ Ἰμαρέλιοι ἱστορηθῆναι παρὰ τοῦ Ἀποστόλου καὶ Εὐαγγελιστοῦ Ἁγίου Λουκᾶ. Οἱ Ὀθωμανοὶ ὑποτάξαντες τὸ Τίφλισι ἐδιώχθησαν παρὰ τοῦ Περσάρχου, ὅστις ἔδωκε τὴν κυριαρχίαν αὐτοῦ πάλιν εἰς τοὺς Ἴβηρας. Τέλος πάντων ἐφ' ἡμῶν ἅπασα ἡ κάτω Ἰβηρία κατεκυριεύθη ὑπὸ τοῦ Σολομῶντος, τῇ προστασίᾳ καὶ συνάρσει τῶν Μοσχόβων· καὶ θανόντος τοῦ Σολομῶντος ἠθέλησεν ἡ Πόρτα νὰ οἰκειοποιηθῇ τὴν κυριαρχίαν τῆς κάτω Ἰβηρίας

—1510

καὶ διώρισεν ἡγεμόνα αὐτῆς ἕνα τῶν ἐντοπίων, τὸν καὶ γυναικάδελφον τοῦ Τζανικλῆ-Ἀλῆ-πασσᾶ· ἀλλ' οὐκ ἐδέχθησαν τὸ τοιόνδε κίνημα οἱ Μόσχοβοι, καὶ ἀποβληθέντος ἐκείνου διώρισαν αὐτοὶ ἄλλον τῶν αὐτοχθόνων,ὃν ἤθελον.

Ἡ δὲ ἄνω Ἰβηρία ὀνομάζεται Ἀλβανία καὶ Καχέτη. Σύνορον δὲ τῶν δύο Ἰβηριῶν ἐστιν ὁ προῤῥηθεὶς ποταμὸς Ἄραβος καὶ μετὰ τὴν σὺν τῷ ποταμῷ Κύρῳ ἕνωσίν ἐστιν ὁ αὐτὸς ποταμὸς Κῦρος. Οἱ Ἴβηρες τῆς κάτω Ἰβηρίας, εἰ καὶ μὴ πάντες, πωλοῦσι τοὺς παροίκους αὐτῶν, οἱ δὲ τῆς ἄνω οὐδαμῶς. Ἀμφότεραι αἱ ἐπαρχίαι αὗται ἐξουσιάζοντό ποτε ὑπὸ τοῦ Περσάρχου μὲ δύο καὶ μόνας συμφωνίας καὶ ἄρθρα· πρῶτον νὰ ἐκλέγηται ὁ ἡγεμὼν οὐκ ἐξ ἄλλου γένους ἀλλ' ἐκ τῶν Παγκρατιανῶν, καὶ νὰ ἐπικυροῦται ὑπὸ τοῦ Περσάρχου· δεύτερον νὰ πέμπωνται τῷ Περσάρχῃ δῶρον κατ' ἔτος παρθένοι τινὲς καὶ παῖδες· (ὅρα ἱστορίαν τῆς Ἰβηρίας καὶ τῶν περὶ αὐτὴν ἐθνῶν, Πατζινάκων, Χαζάρων, Ζίκχων, Σαγιδῶν, Ἀβαζγῶν, Ἀπχάζων, Σουάνων, Ἀλάνων, Μεγκρέλων,Κολχῶν ἤτοι Λαζῶν,Γκουριέρων, Ἀβάρων, Ἀλβανῶν, Χαλίβων καὶ τῶν βασιλέων αὐτῶν καὶ τῆς πίστεώς των παρὰ Δοσιθέῳ ἐν τῷ περὶ τῶν ἐν Ἱεροσολύμοις πατριαρχευσάντων Βιβλ. ιβ', Κεφ. ϛ' καὶ θ'.) Οἱ παπισταὶ γράφουσιν ὅτι ὁ Τεϊμορίζης, ὁ αὐθεντεύων ἐν Ἀλβανίᾳ ἔτει σωτηρίῳ 1630, νὰ ἐπαπίστισεν, ἀλλὰ ψεύδονται. Περὶ δὲ τὸ ἔτος 1657, ἡγεμονεύοντος εἰς τὸ Τίφλισι τοῦ σὰχ Ἀβάζ, ἀπῆλθε Χῖος τις, ἰατρός, Ἀνδρέας τοὔνομα, εἰς τὴν Ἰβηρίαν, καὶ ἔπεισε τὸν Ἀβὰζ νὰ δώσῃ ἄδειαν διὰ τὸν ἐρχομὸν τῶν Ἰησουϊτῶν· ἔλαβεν οὖν ὁ Ἀβὰζ δύο ἐκκλησίας τῶν Ἀρμενίων, τὴν μὲν ἐν τῷ κάστρῳ Κόρι, τὴν δὲ ἐν τῇ πόλει Τίφλισι, καὶ ἔδωκεν αὐτὰς τοῖς Ἰσουΐταις, οἵτινες ἔφερον πρῶτον εἰς παπισμόν τινας τῶν ἐκεῖσε Ἀρμενίων, εἶτα καὶ τινας τῶν ὀρθοδόξων Ἰβήρων. Τὴν σήμερον πληρεξούσιος κυριάρχης τῆς ἄνω Ἰβηρίας εἶναι ὁ αὐτόχθων τῆς ἄνω Ἰβηρίας Ἡράκλειος, εἷς ὢν τῶν χάνηδων τῆς Περσίας, ἀνὴρ ἀξιέπαινος διά τε τὴν σύνεσιν, ἀνδρείαν καὶ γενναιότητα. Κυριαρχεῖ δὲ τῆς ἐπαρχίας πάσης ὑπὸ τῇ προστασίᾳ καὶ συμμαχίᾳ καὶ γ α ρ α ν τ ί ᾳ τῆς βασιλίσσης τῶν Μοσχόβων Αἰκατερίνης τῆς Β', τῆς περιφήμου, καίτοι τῶν Ὀθωμανῶν βασκαινόντων καὶ ἐποφθαλμιώντων τῇ τοιαύτῃ γ α ρ α ν τ ί ᾳ καὶ εἰς τὰ μάλιστα σπουδαζόντων καὶ κινουμένων πρὸς ἀναίρεσιν αὐτῆς, καὶ προτρεπόντων τὸν Ἡράκλειον δεχθῆναι τὴν παρ' αὐτῶν ὑπεράσπισίν τε καὶ συμμαχίαν.

Ὁ πατριάρχης Ἰωακεὶμ ἐπανακάμψας εἰς τὴν Κωνσταντινούπολιν πράγμασι διαφόροις περιέπεσε. Μητροπολίτης γάρ τις Σηλυβρίας, ἀνὴρ πονηρός τε καὶ φαῦλος τὸν βίον, παιδείᾳ ἐκκλησιαστικῇ διὰ τοῦτό ποτε καὶ καθαιρέσει ὑποβληθείς, προσθήκην τῷ κατ' ἔτος ὑπὸ τῆς ἐκκλησίας χορηγουμένῳ τέλει φλωρίων πεποίηκε χιλίων, ἵνα δι' αὐτῶν ἐγκρατὴς τοῦ Οἰκουμενικοῦ πατριαρχικοῦ γένηται θρόνου· ἥν τινα οἱ περὶ τὸν πατριάρχην οὐκ ἠδυνήθησαν ἐκκόψαι· ὅθεν καὶ ἐπληρώθησαν, γνώμῃ τῶν ἀρχιερέων καὶ τοῦ πλήθους, τῆς προσθήκης ἀποδεχθείσης πρὸς σύστασίν τε καὶ στερέωσιν εἰς τὸν πατριαρχικὸν θρόνον τοῦ κὺρ Ἰωακείμ. Μηχ. Εκκλ. Ιστορ. Γεραμ. σ. 74

—

Ἔτει σωτηρίῳ 1511.

Πατριαρχεία Παχωμίου τοῦ Ζιχνῶν.

Ἀλλὰ καὶ ὡς, τῇ ὀργῇ τοῦ σουλτὰν Μπαγιαζίτη ἐμπεσὼν τοῦ θρόνου ἀπεχώρησε, καὶ κελεύσαντος αὐτοῦ τοῖς ἐν Κωνσταντινουπόλει παρευρεθεῖσιν ἀρχιερεῦσί τε καὶ κληρικοῖς πατριάρχην ἕτερον προχειρίσασθαι καὶ γενομένης συνόδου μετεκλήθη τὸ τρίτον ὁ πρότερον πατριαρχεύσας Νήφων, διάγων τότε ἐν τῇ Βλαχίᾳ. Τούτου δὲ τὴν κλῆσιν μὴ δεξαμένου, πατριάρχης προχειρίζεται Παχώμιος ὁ Ζιχνῶν μητροπολίτης.

Ὑποπίπτει χειράγρᾳ ὁ Μπαγιαζίτης καὶ μηνύει τὸν υἱὸν Ἀχμέτην, ἡγεμόνα ὄντα τοῦ Ἰκονίου, ἵνα ἐλθὼν παραλάβῃ τὴν βασιλείαν· αὐτὸς δὲ ἐσκοπεῖτο ἀπελθεῖν εἰς τὴν Μαγνησίαν καὶ ἰδιωτεῦσαι. Ταῦτα μαθὼν ὁ υἱὸς αὐτοῦ Σελίμης, ἡγεμὼν τῆς Τραπεζοῦντος, παρὰ τῶν περὶ τὸν Μπαγιαζίτην, ἔρχεται στρατῷ εἰς τὴν Ἀδριανούπολιν προφάσει τοῦ ἰδεῖν τὸν ἴδιον πατέρα Μπαγιαζίτην, εἶτα ἔρχεται εἰς τὴν Πόλιν εἴκοσι χιλιάδας στρατοῦ συνεπιφέρων καὶ ἐλπίζων προστεθῆναι αὐτῷ τοὺς γεννιτσάρους, οὕς τινας ἤδη ἐγίνωσκεν ὁμόφρονας αὐτῷ. Ὁ Μπαγιαζίτης ταῦτα μαθὼν ἐφορμᾷ κατ' αὐτοῦ· ἀπαντῶνται παρὰ τῇ Τζόρλῳ, τὸ πάλαι Τερλώῃ λεγομένῃ, καὶ πολέμου γενομένου ἡττᾶται ὁ Σελίμης καὶ φεύγει· ὁ Μπαγιαζίτης οὐκ ἠθέλησε καταδιῶξαι αὐτὸν σκοπούμενος ἱκανὴν αὐτῷ εἶναι παιδείαν τὴν ἧτταν. Ὅθεν καταντᾷ ὁ Σελίμης εἰς τὴν Καφὰν τῆς Ταυρικῆς Χερσονήσου, καὶ ὁ Μπαγιαζίτης πάλιν μηνύει τῷ υἱῷ Ἀχμέτῃ ἵνα ταχέως ἐλθὼν διαδέξηται τὴν βασιλείαν· ἀλλ' αὐτὸς ἀπεκρίθη τῷ πατρὶ ὅτι οἱ ἐν τέλει καὶ οἱ γεννίτσαροι θέλουσιν εἰς βασιλέα τους τὸν Σελίμην, καὶ ὅτι παρὰ γνώμην αὐτῶν οὐ δύναται δεχθῆναι τὴν βασιλείαν. Ἐνόμισεν οὖν ὁ Μπαγιαζίτης ὅτι τῇ παρατάσει τοῦ χρόνου θέλει καταπεισθεῖ ὁ Ἀχμέτης διαδεχθῆναι τὴν βασιλείαν καὶ ἡσύχαζεν· ἀλλ' ἐν τούτοις οἱ ἐν τέλει γράφουσι τῷ Σελίμῃ ἐλθεῖν εἰς τὴν Κωνσταντινούπολιν, οὗ γενομένου ἐπὶ προφάσει πάλιν τοῦ ἰδεῖν τὸν πατέρα αὐτοῦ, ὑπήντησαν αὐτῷ οἱ γεννίτσαροι εἰς τὸ Τόπ-κάπὶ, καὶ ἀπαγαγόντες αὐτὸν ἐκόνευσαν εἰς σκηνὰς ἐν τῷ Γενὶ-παχτζέ. Ἐξέστη ὁ Μπαγιαζίτης ταῦτα μαθὼν, καὶ μὴ ἔχων ἀντιστῆναι ὑποκρίνεται· ὅθεν μετὰ παρέλευσιν ἡμερῶν ὀκτὼ πέμψας τὸν σαχίπη-δεβλέτην του, Κοτζὰ-Μουσταφᾶ-πασσᾶν, ἐμήνυσε τῷ Σελίμῃ τὸ ὅτι ἂν ἤθελε νὰ τὸν ἴδῃ διατί συμπεραίνει τὸν καιρὸν, καὶ ἂν ἦλθε διὰ ἄλλους σκοποὺς διατί χάνει τὸν καιρόν; Ὁ Σελίμης ἀπεκρίθη κατηγορῶν τὴν δεκαετῆ ὁπλοστασίαν τῶν Ὀθωμανῶν εἰς καιρὸν ὁποῦ ὁ Σοφὶ Ἰσμαὴλ ἐφορμᾷ κατὰ τῶν ὀθωμανικῶν ἐπαρχιῶν, καὶ ὁ ἐν τῇ Αἰγύπτῳ Τζερκέζης Γαβρὴς ὑποτάσσει τὰς ἐν τῇ Συρίᾳ ἐπαρχίας ὀθωμανικάς. Ταῦτα ἀκούσας ὁ Μπαγιαζίτης εἶπεν ὅτι ὁ υἱός του Σελίμης δὲν ἦλθε νὰ τὸν ἴδῃ, ἀλλὰ νὰ βασιλεύσῃ μὲ ὅ,τι τρόπον ἠμπορεῖ· ὅθεν ἐμήνυσεν αὐτῷ ὅτι παραχωρεῖ τὴν βασιλείαν αὐτῷ, καὶ ἐζήτει ἵνα ἀπελθὼν ἰδιωτεύῃ ἐν τῷ Διδυμοτείχῳ.

—1512

Ἔτει σωτηρίῳ 1512, τοῦ Χιτζρὲ 918.

Βασιλεία τοῦ σουλτὰν Σελίμη.

Ὅθεν ἀπῆρε τῆς Πόλεως ὁ Μπαγιαζίτης συμπαραλαβὼν ἐκ τοῦ θησαυροῦ ὅσα ἤθελε, καὶ τὸν Γιουνοὺς-πασσᾶν καὶ ἄλλους φίλους. Ὁ Σελίμης μαζὴ μὲ τοὺς ἐν τέλει ἐσυντροφίασε τὸν πατέρα του μέχρι τοῦ Κιουτζοὺκ-Τζεκμετζὲ, καὶ ἀποχαιρετήσας αὐτὸν ἐκεῖσε ἐπανῆλθεν εἰς τὴν Πόλιν καὶ ἐζώσθη τὸ σπαθὶ κατὰ τὴν συνήθειαν. Μόλις ἀπεῖχε τῆς Πόλεως ὁ Μπαγιαζίτης μίλια 40, ἡμέρας εἴκοσι μετὰ τὴν παραίτησιν, καὶ ἀπέθανε. Ὁ Σελίμης μετὰ πομπῆς μεγάλης, ἧς τινος καὐτὸς πεζὸς προπορεύεσθαι ἤρξατο πόῤῥωθεν τῶν τειχῶν τῆς Πόλεως, ἀποκομίσας τὸν νεκρὸν ἔθαψεν ἐν τῷ τζαμὶ τῷ παρ' αὐτοῦ κτισθέντι.

Ἔζησεν οὖν ὁ Μπαγιαζὶτ ἔτη 62, βασιλεύσας τριάκοντα πρὸς τοῖς δυσὶ, καὶ ἀφῆκεν υἱοὺς πέντε, Κορδοὺκ, Ἀχμὲτ, Σεχινσὰχ, Ἀλεμσὰχ καὶ τὸν βασιλεύσαντα τόν δε Σελίμην.

Ὁ πάπας Ἰούλιος ὁ Β' μετὰ τὴν αὐτοῦ ἐκλογὴν εἶχεν ὀμώσει ἐντὸς διετίας συναθροῖσαι Σύνοδον οἰκουμενικήν· ἀλλὰ τοὺς ὅρκους μὴ φυλάξας, οἱ καρδινάλιοι, τῇ συνθήκῃ τοῦ καίσαρος Μαξιμιλιανοῦ καὶ τοῦ ῥηγὸς τῶν Γάλλων Λουδοβίκου τοῦ ΙΒ', ἐννέα τὸν ἀριθμὸν, τῇ ἰδίᾳ αὐτῶν ἐξουσίᾳ, ἄκοντος τοῦ πάπα Ἰουλίου, συνήθροισαν τὴν ἐν Πίσσαις Σύνοδον, ἥτις καὶ οἰκουμενικὴ παρὰ Λατίνοις ὀνομάζεται, ἔτει σωτηρίῳ 1511. Εἶτα μετηνέχθη ἐκ τῶν Πισσῶν εἰς τὰ Μεδιόλανα, κἀκεῖθεν εἰς Λουγδοῦνον, ὅπου καὶ πέρας ἔλαβε τῷ ἑξῆς ἔτει 1512.

Ἐν τῇ ά οὖν αὐτῆς συνελεύσει ἀπεφάνθη τὸ τὴν Σύνοδον ταύτην νόμιμον καὶ κανονικὴν εἶναι, ὡς συναθροισθεῖσαν πρὸς μεταῤῥύθμισιν τῆς δυτικῆς ἐκκλησίας, διαφθαρείσης ἤδη ἐς ἄκρον κατά τε τὴν κεφαλὴν καὶ τὰ μέλη ἀπὸ τῆς ἀρχαίας παραδόσεως ταῖς τῶν Ῥώμης ἐπισκόπων καινοτομίαις, καὶ πάντα τὰ ὑπὸ τῶν Ῥώμης ἐπισκόπων ἐναντίον ταύτης τῆς Συνόδου προβληθησόμενα ἐξίτηλά τε καὶ ἄκυρα εἶναι. Ἐν τῇ β' ἐπανελήφθη ὁ κανὼν τῆς ἐν Τολίτῳ συνόδου περὶ τοῦ δεῖν παρατηρεῖσθαι τότε σχῆμα καὶ τὰ κόσμια ἤθη, κατὰ τὴν τῶν Πατέρων συνθήκην, καὶ τίνας εἶναι δεῖ τοὺς κριτὰς τῶν ἀμφισβητησίμων αἰτιῶν διωρίσθη. Ἐν τῇ γ' διεγνώσθη μὴ διασκεδασθῆναι τὴν Σύνοδον πρὸ τοῦ μεταῤῥυθμισθῆναι τὴν ἐκκλησίαν, καὶ ἐκυρώθη τὸ ὑπὸ τῆς ἐν Κωνσταντίᾳ Συνόδου γεγονὸς θέσπισμα, ὅτι δηλαδὴ ἡ οἰκουμενικὴ Σύνοδος ἀμέσως παρὰ τοῦ Χριστοῦ ἔχει τὴν αὐθεντείαν, ᾗ ἐνέχεται ὑπακούειν καὶ ὁ Ῥώμης ἀρχιερεύς. Ἐν τῇ δ', τῇ ἐν Μεδιολάνοις γενομένῃ, ἄνδρας τῷ Ῥώμης Ἰουλίῳ ἐξέπεμψαν ἐρωτήσοντας αὐτὸν ἐκλέξασθαι τόπον ἁρμόζοντα τῇ Συνόδῳ, ἐν ᾧ πάντα τὰ τῆς Συνόδου ἐλευθέρως διαπράττοιτο. Ἐν τῇ έ ἐπανελήφθη τὸ θέσπισμα τῆς ἐν Κωνσταντίᾳ Συνόδου κατὰ τῶν ἐπιόντων τοῖς ἐρχομένοις εἰς τὴν Σύνοδον καὶ ἀπὸ ταύτης ἀπερχομένοις. Ἐν τῇ ς' καθυπεβλήθη ὁ πάπας Ἰούλιος ἀργίᾳ πάσης ἀρχιε-

ρτικῆς ἱεροπραξίας, ὅτι παρελθόντος τοῦ προγραφέντος αὐτῷ χρονικοῦ διαστήματος ἐν τῇ γ' καὶ δ' συνελεύσει ἵνα ἐκλέξηται τόπον τῆς Συνόδου ἁρμόζοντα, αὐτὸς τὰ παρὰ τῆς Συνόδου εἰς οὐδὲν ἐλογίσατο· ὅθεν αὐτὸν προσέτι καὶ πάσης ἐξουσίας τοῦ ἐκλέγειν τόπον τῇ Συνόδῳ ἀπεστέρησαν. Ἐν τῇ ζ' οἱ τῆς Συνόδου ἐπίσκοποι ἀπέδειξαν ὅτι δίκαιον τὸ τὸν πάπαν Ἰούλιον μηδεμίαν παπικὴν διακονίαν ἐπιτελεῖν. Ἐν τῇ η' καὶ τελευταίᾳ κελεύεται ὁ πάπας Ἰούλιος παντὸς παπικοῦ ἔργου ἀπέχεσθαι, ὡς πάντῃ μαχόμενος τῇ ἐν Πίσσαις Συνόδῳ, καθυποβάλλων ἀναθέματι τοὺς ἑπομένους αὐτῇ καὶ γενόμενος αἴτιος αἱματοχυσιῶν διὰ νὰ τὴν ἐμποδίσῃ.

Ὁ ῥηθεὶς ῥὴξ τῆς Φράντζας Λουδοβῖκος ὁ ΙΒ' πόλεμον συγκροτεῖ ἐν τῇ Ἰταλίᾳ διὰ τὴν ἐπαρχίαν τῶν Μεδιολάνων κατὰ τοῦδε τοῦ πάπα Ἰουλίου Β', ὑφ' οὗ ἀραῖς παπικαῖς καὶ ἀναθέματι ὑπεβλήθη αὐτός τε καὶ οἱ τὴν ἐπαρχίαν τῆς Βονωνίας λεηλατήσαντες στρατηγοὶ αὐτοῦ, καὶ ἐκινήθη πόλεμος ὑπ' αὐτοῦ κατὰ τῶν Φραντζέζων, καὶ ἐδόθη ἄφεσις ἁμαρτιῶν παντὶ τῷ μιαιφονήσαντι Φραντζέζους. Ἐπεὶ δὲ ὁ πάπας παραβὰς τοὺς ὅρκους οὐκ ἤθροιζε Σύνοδον, κατὰ τὴν δοθεῖσαν ἔνορκον ὑπόσχεσιν, ὁ ἀφορισθεὶς Λουΐγκης συνήθροισε Σύνοδον τῶν ὑπ' αὐτῷ κληρικῶν καὶ ἐπισκόπων ἐν τῷ Ἀρελάτῳ ἤτοι Ὀρλεὰνς, εἶτα καὶ ἐν τῷ Τουρόνῳ· καὶ ἡ Σύνοδος τὴν τῶν βασιλέων ὑπεροχὴν καὶ τὸ ἀνῆκον αὐτοῖς, ἐναντίον τῶν Ῥώμης ἐπισκόπων, ἐν ὀκτὼ ἄρθροις προσεκυρώσατο· τὸ δὲ Ἰουλίου Β' ἀνάθεμα κατὰ τοῦ Λουΐγκη καὶ τὰς ἄλλας ἐπιτιμήσεις κατὰ τῶν ἐν τῷ τῆς Γαλλίας ῥηγάτῳ εὑρισκομένων ἀνισχύρους ἀποδείξαντες ἀκύρους ἀπεφήναντο, καὶ κατηγορήθη παρὰ πάντων ὁ πάπας Ἰούλιος ὡς φιλοτάραχος, φιλοπόλεμος καὶ συγχέων τὴν χριστιανικὴν εἰρήνην. Καὶ γὰρ καὶ ὁ καῖσαρ Μαξιμιλιανὸς καὶ ὁ ῥηθεὶς Λουδοβῖκος ΙΒ' τὴν ῥηθεῖσαν Σύνοδον τὴν ἐν Πίσσαις τῆς Ἐτρουρίας συνήθροισαν τὴν προῤῥηθεῖσαν πολλῶν καρδιναλίων καὶ ἐπισκόπων, ἐν ᾗ πᾶσαν τὴν τοῦ πάπα πειθαρχίαν κατακόρως ἀποῤῥίψαντες Ἰούλιον τὸν πάπαν ἐπεκαλέσαντο· οἵ τε καρδινάλιοι οἱ ἐλθόντες εἰς τὴν ἐν Πίσσαις Σύνοδον, φοβηθέντες ἵνα μὴ τῇ τοῦ Ἰουλίου πάπα ἐξουσιαστικῇ ὀργῇ ὑποπέσωσιν, ἐν Μεδιολάνοις τὴν Σύνοδον μετεκομίσαντο, ὅπου αὖθις διαπτοηθέντες ταῖς τοῦ πάπα ἐπιβουλαῖς εἰς τὸ Λουγδοῦνον τῆς Φράντζας τὴν Σύνοδον μετήγαγον, σφοδρῶς ἤδη τοῦ Ἰουλίου ἐπὶ τούτοις φριμάσσοντος· καὶ Λουδοβῖκος ὁ ῥηθεὶς σφοδρῶς ὑπὲρ ταύτης τῆς Συνόδου ἠγωνίζετο, ὥστε τοὺς πάντας φοβεῖσθαι ἵνα μή τι χαλεπὸν σχίσμα αὖθις ἐν τῇ ἐκκλησίᾳ ἀνακύψῃ. Ἐπικαλεσθεὶς οὖν ὁ πάπας εἰς τὴν Σύνοδον ἀγείρει καὶ ἄκων πρὸς δεφένδευσίν του ἐν τῇ Ῥώμῃ, ἔτει **1512**, τὴν ἐν Λατεράνῳ ψευδοσύλλογον, ἣν τινα καὶ ἡ οἰκουμενικὴν οἱ παπισταὶ ὀνομάζουσι, καὶ τὸ τῆς ἐν Κωνσταντίᾳ Συνόδου θέσπισμα τὸ περὶ τοῦ συγκροτηθῆναι οἰκουμενικὰς Συνόδους ὁ πάπας ἐπικυροῖ.

Ἐν τῇ δ' συνελεύσει τῆς ἐν Λατεράνῳ ταύτης ψευδοσυνόδου Χριστόφορος Μαρκέλος ὁ τοῦ παπικοῦ θρόνου σημειογράφος, ἕτερον θεὸν εἶναι τὸν πάπαν παρόντα ἐπὶ γῆς ὠνόμασεν. Αὐτὸς ὁ Ἰούλιος τὰς τοῦ Πέτρου κλεῖς τῷ Τιβέρει ποταμῷ ἐνέῤῥιψεν, οἰόμενος ὅτι πολλῷ μᾶλλον ἑαυτῷ συμφέ-

ρει τῇ τοῦ Παύλου χρήσασθαι ῥομφαίᾳ ἐν τῷ πολέμῳ τῷ κατὰ τοῦ προῤῥηθέντος Λουδοβίκου ῥηγὸς τῆς Φράντζας, ἢ ταῖς τοῦ Πέτρου κλεισὶν, ἐφ' ᾧ καὶ λίαν ἠγανάκτει τὰ ὅπλα ἐπὶ ποσον χρόνον ἀναβάλλων καὶ μὴ ἀσχέτῳ ὁρμῇ κατὰ τῶν χριστιανῶν τούτοις χρώμενος· δι' ὧν οὐδεὶς ἐκείνου τῶν πρὸ αὐτοῦ παπῶν μᾶλλον φαίνεται πρὸς αὔξησιν τῆς ἐπαρχίας, ἣν κληρονομίαν τοῦ Πέτρου εἰώθασιν ὀνομάζειν, ἐσπουδακέναι.

—

Ἔτει σωτηρίῳ 1513.

Ἀνεφάνη ἐπὶ τοῦδε τοῦ Πάπα Ἰουλίου ἐκ τῆς Βεργικῆς Βαταβίας αἱρετικός τις τοὔνομα Ἑρμάνος Ῥισούτχ, βλασφημῶν τὸ μὴ πλασθῆναι παρὰ θεοῦ τοὺς ἀγγέλους· τὴν ψυχὴν σὺν τῷ σώματι φθείρεσθαι· κόλασιν οὐκ εἶναι· τὴν ὕλην ἀφ' ἧς ἐγένοντο τὰ στοιχεῖα μὴ ποιηθῆναι παρὰ τοῦ θεοῦ ἀλλὰ συναιώνιον αὐτῷ εἶναι· τὸν Χριστὸν γενέσθαι ἄνουν τινα καὶ εὐήθη, ἀπαταιῶνα καὶ φαντασιώδη, πάντα τὸν κόσμον καταδικάσαντα καὶ μηδένα λυτρωσάμενον· τὰ παρ' αὐτοῦ ποιηθέντα ἐναντία εἶναι τῷ ὀρθῷ λόγῳ καὶ τῷ ἀνθρωπίνῳ γένει· ὅθεν αὐτὸν μὴ εἶναι υἱὸν τοῦ παντοδυνάμου θεοῦ· τὸν Μωϋσῆν μὴ λαβεῖν παρὰ τοῦ θεοῦ τὸν νόμον ὁρατῶς, μήτε διαλεχθῆναι αὐτῷ κατὰ πρόσωπον· τὴν πίστιν ἡμῶν εἶναι μυθώδη· τὴν Γραφὴν μωρὰν· τὴν ἑξαήμερον πλαστὴν· τὸ Εὐαγγέλιον παραφροσύνην καὶ ψεῦδος· τὸν γὰρ δυνάμενον ποιῆσαι τὸν κόσμον ἄνευ τῆς ἐνσαρκώσεως, δύνασθαι καὶ δίχα ταύτης τοῦτον λυτρώσασθαι. (Ταῦτά εἰσιν ἃ ἐν τῇ δυτικῇ ἐκκλησίᾳ βλασφημοῦνται πᾶσαν ἀσέλγειαν ὑπερακοντίσαντα.) Κατεκάη οὗτος ἐν τῇ Ἁγίᾳ πόλει τῆς Ὀλάνδας.

Ἡ προῤῥηθεῖσα ἐν Λατεράνῳ ε ψευδοσύλλογος συνηθροίσθη ὑπὸ τοῦ ῥηθέντος πάπα Ἰουλίου Β', ἔτει 1512, παρόντων 85 ἐπισκόπων ἰταλῶν ὑποχειρίων τῷ Ῥώμης πρυτανείῳ πρὸς ἀνατροπὴν τῆς ἐν Πίσσαις Συνόδου· καὶ θανόντος τοῦ πάπα Ἰουλίου Β', ἔτει 1513, καὶ γενομένου πάπα Λέοντος Ι' τοῦ ἀπὸ Φλωρεντίας, κατὰ τὴν ιά Μαρτίου τοῦ αὐτοῦ ἔτους, ἡ Σύνοδος ἐτελείωσε τῷ ἔτει 1517, ἐπὶ τοῦ νέου πάπα Λέοντος Ι', καὶ ἐγένοντο συνελεύσεις αὐτῆς 12, πέντε μὲν ἐπὶ Ἰουλίου, ἑπτὰ δὲ ἐπὶ Λέοντος, δι' ὧν οὐδὲν ἄλλο ποιεῖν ἐσοχάσθησαν εἰμὴ τὴν παπικὴν ἀρχιερατείαν ἐπὶ τὸν κολοφῶνα τῆς πάσης ἀρχῆς καὶ ἐξουσίας ὑπερυψῶσαι, καὶ θεὸν τὸν πάπαν ὀνομάσαι ἐπίγειον. Οὗτος δὲ ὁ Λέων οὔπω τὸν ιδ' ἐνιαυτὸν τῆς ἡλικίας πληρώσας, καὶ ἔτι τοῖς παιδικοῖς ἐντρυφῶν, καρδινάλης ἐγένετο, οὐκ ἄλλου τινὸς ἕνεκα, εἰμὴ ὅτι ἡ ἀδελφὴ αὐτοῦ Μαγδαληνὴ, θυγάτηρ τοῦ ἡγεμόνος τῆς Φλωρεντίας Λαυρεντίου Μέδιτζι, συνήφθη εἰς γάμου κοινωνίαν τῷ τοῦ πάπα Ἰννοκεντίου Η' νόθῳ Φραγκίσκῳ τῷ ἐπιλεγομένῳ Κιβῷ. Ἦν δὲ φιλομαθὴς ὁ Λέων καὶ τοῖς εὐφραδέσι τῶν λόγων χαίρων, μηδεμίαν εἴδησιν τῶν τῆς πίστεως ἱερῶν λόγων καὶ δογμάτων κεκτημένος. Κατευνάσθη δὲ ἐπὶ τούτου τοῦ πάπα καὶ τὸ σχίσμα τὸ προῤῥηθὲν, ὅπερ τῇ δυτικῇ ἐκκλησίᾳ ὄλεθρον οὐ τὸν τυχόντα ἠπείλει, καὶ ἐφιλιώθη ὁ Λέων καὶ μὲ τὸν ῥῆγα τῆς Φράντζας Φραγκῖσκον,

Α', τὸν καὶ διάδοχον τοῦ προῤῥηθέντος Λουΐγκη τοῦ ΙΒ'. Παρῆσαν τῇ Συνόδῳ παρὰ τοὺς 85 ἐπισκόπους καὶ οἱ πρέσβεις τῶν χριστιανῶν ῥηγῶν, ἐν οἷς ἦσαν καὶ οἱ τοῦ καίσαρος καὶ οἱ τοῦ ῥηγὸς τῆς Φράντζας, καὶ δελύθη ὑπ' αὐτῆς τῆς Συνόδου ὁ π ρ α γ μ α τ ι κ ὸ ς τ ύ π ο ς ὅστις ἦν σύνθημα, περιέχων ἄρθρα 23, συντεθεὶς ὑπὸ Συνόδου συναθροισθείσης τῷ ἔτει 1438 ὑπὸ τοῦ ῥηγὸς τῆς Φράντζας Καρόλου Ζ', περιέχων, κατὰ τὴν διόρθωσιν τῆς ἐν τῇ Βασιλείᾳ Συνόδου, τὸ νὰ μὴ ἔχῃ ἔκκλητον ὁ πάπας εἰς τὰς ἐκκλησιαστικὰς ὑποθέσεις καὶ διαφορὰς τῆς Φράντζας, καὶ τὸ νὰ μὴ δίδωνται τὰ ἐκκλησιαστικὰ ὀφφίκια καὶ ἐπισκοπαὶ εἰς ἄλλο τι γένος παρὰ εἰς μόνον τοὺς Φραντζέζους. Κατηργήθη ὑπὸ τῆς αὐτῆς Συνόδου καὶ ἡ περὶ ψυχῆς δόξα ἡ λέγουσα ὅτι ἡ ψυχὴ εἶναι μία καὶ μόνη εἰς τοὺς ἀνθρώπους, ἢ εἶναι θνηταὶ αἱ ψυχαὶ πάντων τῶν ἀνθρώπων. Καὶ συνελεύσει θ' ταύτης τῆς ψευδοσυνόδου τρανῶς τῷ πάπᾳ Λέοντι ἀπένειμαν οἱ συνοδικοὶ θείαν μεγαλειότητα, πᾶσαν τὴν ἐν οὐρανῷ καὶ ἐπὶ γῆς δοθεῖσαν ἐξουσίαν τῷ Κυρίῳ καὶ σωτῆρι ἡμῶν Ἰησοῦ Χριστῷ ἀθέως αὐτῷ ἐπιβεβαιώσας Ἀντώνιος ὁ Πούκιος, κληρικὸς τῆς παπικῆς Καμάρας. Τὸ δ' αὐτὸ ἐπανέλαβεν ἐν τῇ ι συνελεύσει Στέφανος ὁ Πατρακίνσιος, ἐπίσκοπος, οὐ μὴν δ' ἀλλὰ καὶ ἐν τῇ ς' τὰ προσήκοντα τῷ Χριστῷ ἀσεβῶς τῷ πάπᾳ προσέῤῥαπτον, Λ έ ο ν τ α τ ὸ ν ἐ κ φ υ λ ῆ ς τ ο ῦ Ἰ ο ύ δ α κ α ὶ ἐ κ τ ῆ ς ῥ ί ζ η ς τ ο ῦ Δ α β ὶ δ αὐτὸν εἰπόντες, καὶ π ο λ έ μ η σ ο ν τ ο ὺ ς π ο λ ε μ ο ῦ ν τ α ς ἡ μ ᾶ ς, ἐ π ι λ α β ο ῦ ἀ σ π ί δ ο ς κ α ὶ ῥ ο μ φ α ί α ς κ α ὶ ἐ ξ ε γ έ ρ θ η τ ι ε ἰ ς τ ὴ ν β ο ή θ ε ι α ν ἡ μ ῶ ν, καὶ ἐπεκύρωσαν αὐτὸν οὐ μόνον κατὰ παρεμφέρειαν ἐν ῥήματι ἀλλὰ καὶ κατὰ προσαρμογὴν καὶ ἐν πράγματι θεὸν νομίζεσθαι.

Ὁ αὐτὸς Λέων ἀμέτροις ἐχρᾶτο ἀναλώμασιν ἔν τε τοῖς συγγενέσι καὶ τοῖς αὐλικοῖς καὶ τοῖς ποιηταῖς καὶ ῥήτορσι, μηδαμῶς θεολογίας φροντίζων. Ὅθεν πάντας τοὺς ῥύακας τοὺς καταρδεύοντας τὸ παπικὸν πρυτανεῖον καταξηράνας, καὶ μὴ ἔχων ἑτέραν πηγὴν ἢ τὴν τῶν ἰ ν δ ο υ λ γ ε ν τ ι ῶ ν καπηλείαν, ὁλοψύχως αὐτὴν ἠνέῳξε, καὶ εἰς πᾶσαν τὴν Δύσιν ἐξαπέστειλε καπήλους τοὺς πληρεστάτας ἀφέσεις ἁμαρτιῶν κηρύττοντας, τοῖς πᾶσί τε καὶ ἑνὶ ἑκάστῳ πωλεῖσθαί τε καὶ ὠνεῖσθαι χρυσίου τε καὶ ἀργυρίου, δι' ἣν αἰτίαν καὶ αἱρεσιάρχης ἐγένετο. Πρὸς διατράνωσιν δὲ τῆς τοιαύτης παπικῆς χρηματοληψίας ῥητέον ὅτι παραβλέψαντες οἱ πάπαι τὴν ἀνέκαθεν ἐκκλησιαστικὴν θεολογίαν τε καὶ διδασκαλίαν ἐδογμάτισαν μετὰ τῶν περὶ αὐτοὺς παρασίτων θεολόγων τρεῖς τάξεις εἶναι τῶν ἐκ τοῦδε τοῦ βίου ἀπαλλαγεισῶν ψυχῶν· ἡ μὲν, τῶν ἁγίων τὴν αἰώνιον μακαριότητα ἀπολαμβάνουσα· ἡ δὲ, τῶν ἐναγῶν καὶ ἀσεβῶν, ἐν τῷ ἐξωτάτῳ καὶ ἀσβέστῳ πυρὶ κατακαιομένη· ἡ δὲ, τῶν ἐπὶ τοῖς ἰδίοις πλημμελήμασι μεταγνόντων μὲν μὴ φθασάντων δὲ πληρῶσαι τὴν ἱκανοποίησιν αὐτῶν καὶ ἐν τῷ π ο υ ρ γ α τ ο ρ ί ῳ πυρὶ διὰ τοῦτο παραδεδομένη, καὶ πρὸς καιρὸν κολαζομένη καθαίρεται, καὶ καθαρθεῖσα ἀνάγεται ἐκεῖθεν εἰς ἀπόλαυσιν τῶν αἰωνίων ἀγαθῶν. Οἰκονόμος οὖν ὢν ὁ πάπας τῶν τῆς ἐκκλησίας θησαυρῶν καὶ τὴν διάταξιν τῶν πρὸς σωτηρίαν ἀναγκαίων τῆς πίστεως μόνος δογ-

—1513

ματίζων, (ἄπαγε τῆς βλασφημίας! μόνῳ γὰρ τῷ θεῷ τοῦτο ἰδιάζει,) καὶ μόνος ἔχωντας τὰς κλεῖς τοῦ πουργατορίου, δύναται καὶ πρὸ καιροῦ ἐκεῖθεν τὰς ψυχὰς ἐξαγαγεῖν, πρὸ τοῦ καθαρθῆναι δηλαδὴ αὐτὰς ἐντελῶς, διὰ τῶν συγχωρητικῶν αὐτοῦ γραμμάτων, καὶ ἀναγαγεῖν εἰς τὸν οὐρανὸν ταῖς πληρεστάταις αὐτοῦ συγκαταβάσεσι καὶ τοῖς διαταχθεῖσιν αὐτοῦ ἰοβηλαίοις. Πρῶτος οὖν Βονιφάτιος ὁ Η', ἔτει 1303, διετάξατο ἰοβηλαῖον ἀποτελεῖσθαι ἐν διαστήματι χρόνων 100, ὥσπερ εἶχον καὶ οἱ Ἰουδαῖοι· εἶτα Κλήμης ὁ ΣΤ' ἐν ἑκάστῃ πεντηκονταετηρίδι γίγνεσθαι διετάξατο, ἀλλὰ μετὰ τοῦτον Γρηγόριος ὁ Δ' ἐν 25 ἐτῶν διαστήματι ὥρισε γίγνεσθαι· καὶ τανῦν, χρείας οὔσης χρημάτων, διορίζουσι κατὰ τὸ δοκοῦν αὐτοῖς τὸ διάστημα τῶν ἐτῶν διὰ τοὺς ἰοβηλαίους. Τανῦν δὲ ἐσμικρύνθη τὸ τοιοῦτον εἰσόδημα, ἐλαττωθείσης παρὰ τοῖς χριστιανικοῖς ῥηγάτοις τῆς θεϊκῆς τοῦ πάπα ὑπολήψεως, καὶ τὰ πλείονα αὐτῶν ἀπεσείσθησαν τῆς αὐτοῦ ἐκκλησίας, τὰ δὲ ὁμοφρονοῦντα αὐτῷ, ἀνανήψαντα τῆς μέθης, οὐκέτι τὸν πάπαν εἰς θεὸν ἀποδέχονται.

Διὰ τὰ βαρύτατα ἔξοδα τῆς οἰκοδομῆς τοῦ ἐν τῇ Ῥώμῃ μεγίστου ναοῦ τοῦ Ἁγίου Πέτρου πέμπει καὶ εἰς τὴν Γερμανίαν ἰοβηλαίους ἤτοι ἰνδουλγέντιας ὁ πάπας οὑτοσὶ Λέων ὁ Ι', ὄντος ἤδη ὡπλισμένου κατ' αὐτῶν τοῦ Λουθήρου. Ὅσα οὖν διεπράξατο ἐπί τε τῶν προκατόχων τοῦδε τοῦ πάπα καὶ τῶν διαδόχων ὅρα Κεφ· ΙΑ', εἰς τὸν βίον τοῦ Λουθήρου.

Κάκιστα ἤδη εἶχεν ὁ κλῆρος τῆς Ῥώμης, τὰ ὁποῖα εἰς μίαν συνέλευσιν ἡ ῥηθεῖσα ἐν Λατεράνῳ Σύνοδος ἐφρόντισε νὰ τὰ διορθώσῃ.

ΚΕΦ. Η'.

Τὰ ἐπὶ τῆς β' πατριαρχείας τοῦ ῥηθέντος Ἰωακείμ, καὶ τὰ ἐπὶ τῆς β' πατριαρχείας τοῦ Παχωμίου.

Ὁ πατριάρχης Παχώμιος προστὰς τοῦ θρόνου ἔτος ἓν καταβιβάζεται. Οἱ γὰρ τῷ Ἰωακεὶμ προσκείμενοι ἀρχιερεῖς πρὸς ταῖς τρισὶ χιλιάσι (καὶ πεντακοσίοις) τῶν φλωρίων ἄλλα πεντακόσια προσθέντες κατέστησαν αὖθις τὸν Ἰωακεὶμ ἐπὶ τοῦ πατριαρχικοῦ θρόνου τῇ τοῦ σουλτὰν Σελίμη διαταγῇ, καὶ ἐγένοντο τὰ φλωρία 4000. Ἰδοὺ πρῶτον παράδειγμα ἀδίκου καὶ ἐπιζημίου καὶ κοινοβλαβοῦς συνωμοσίας τῶν ἀρχιερέων κατὰ τοῦ Οἰμενικοῦ πατριάρχου. Μετά τινα χρόνον οὖν ὁ Ἰωακεὶμ ἀπὸ τῆς ἰδίας ἐγκαθιδρύσεως ἐπὶ τὸν τῆς Μολδαβίας ἡγεμόνα Μπόγδανον τὸν Γ', υἱὸν τοῦ Στεφάνου τοῦ Β', παραγεγονώς, ἐπικουρίας χρημάτων ἕνεκα, καὶ μηδεμιᾶς

τυχὼν παρ' αὐτῷ δεξιώσεως, ὡς λίαν δυσχεράναντι ἐπὶ τοῖς αὐτῷ πεπραγμένοις, κατῆλθεν ἐκεῖθεν ἐπὶ τὴν Οὐγγροβραχίαν πρὸς τὸν ἡγεμόνα αὐτῆς Βασαράβαν τὸν Β'· ἔνθα ἀποτυχὼν καὶ τῆς παρ' αὐτῷ ὑποδοχῆς διὰ τὴν αὐτὴν αἰτίαν τῆς ἐπιπηδήσεως εἰς τὸν Οἰκουμενικὸν θρόνον, λύπῃ συσχεθεὶς ἀπέθανεν.

Ὁ Ἀχμὲτ ἑτοιμάζεται πολεμῆσαι πρὸς τὸν ἀδελφὸν σουλτὰν Σελὶμ ὅστις μαθὼν ταῦτα ἐφορμᾷ κατ' αὐτοῦ, καὶ πολέμου συγκροτηθέντος σφοδροῦ ἡττᾶται ὁ Ἀχμέτ, ζωγρεῖται καὶ φονεύεται. Εἶτα ἐλθὼν ὁ σουλτὰν Σελὶμ εἰς τὴν Μαγνησίαν ἐφορμᾷ κατὰ τοῦ ἀπροετοιμάστου ἰδίου αὐταδέλφου Κορδούκ· πολέμου οὖν συγκροτηθέντος φεύγει ὁ Κορδοὺκ ἡττηθείς, ἀλλὰ καὶ ὡς, ζωγρηθεὶς καρατομεῖται· εἶτα φονεύει ὁ Σελίμης πολλοὺς οἰκιακοὺς καὶ αὐλικοὺς ἀμφοτέρων καὶ ἐπανακάμπτει εἰς τὴν Κωνσταντινούπολιν.

Β' πατριαρχεία τοῦ Παχωμίου.

Γνωσθείσης τῆς ἀποβιώσεως τοῦ Ἰωακείμ, κοινῇ γνώμῃ τῶν ἀρχιερέων, κληρικῶν τε καὶ ἀρχόντων ἀνεβιβάσθη τὸ δεύτερον ἐπὶ τὸν πατριαρχικὸν θρόνον ὁ προπατριαρχεύσας Παχώμιος, ὅστις καθαιρέσει ὑπέβαλε τὸν ἐπιβάτην Μονεμβασίας παπιστὴν Ἀρσένιον ὡς παρανόμως ἐξώσαντα τὸν γνησίως προβληθέντα ἐν αὐτῇ τῇ μητροπόλει καὶ κανονικῶς ὑπὸ τῆς ἐκκλησίας χειροτονηθέντα. Τῆς γὰρ Μονεμβασίας τῇ τῶν Ἐνετῶν ἐξουσίᾳ ὑποκειμένης, ὁ Ἀρσένιος διὰ τῆς ἐπιταγῆς αὐτῶν, κωμῳδῶν τὰ θεῖα, ἀντὶ πατριάρχου τὸν Ῥέοντος καὶ Πραστοῦ ἐπίσκοπον, ἀντί τε μητροπολιτῶν Λακεδαιμονίας καὶ Χριστιανουπόλεως δύο τινὰς πρεσβυτέρους ὑποστησάμενος, ἐχειροτονήθη παρ' αὐτῶν καὶ ἀνεδείχθη μητροπολίτης Μονεμβασίας παρὰ πάντα κανόνα. Καὶ γέγονε ταῦτα διὰ τῆς ἐκδόσεως τοῦ πάπα Λέοντος τοῦ Ι', πόρρω πάσης κανονικῆς τε καὶ χριστιανικῆς τάξεως. Καὶ γὰρ ὁ Ἀρσένιος παπολάτρης ὢν ἀποστολοεμπαίκτης ἐγένετο.

—

Ἔτει σωτηρίῳ 1514, τοῦ Χιτζρὲ 910.

Ὁ σουλτὰν Σελίμης συλλογίζεται κατὰ τίνος πρῶτον νὰ ἐκστρατεύσῃ τῶν δύο παρ' αὐτοῦ μισουμένων, τοῦ Σοφὶ Ἰσμαὴλ σάχη τῆς Περσίας, ἢ κατὰ τοῦ σουλτὰν Γαβρῆ βασιλέως τῆς Αἰγύπτου. Τοῦ ἐφάνη δύσκολον τὸ νὰ ἐφορμήσῃ κατὰ τοῦ Γαβρῆ, διὰ τὴν ἐσομένην αὐτῷ τοῦ Σοφὶ Ἰσμαὴλ συμμάχιαν, ἄλλως φοβεροῦ ὄντος τότε. Ὅθεν καὶ διὰ ταύτην τὴν αἰτίαν, καὶ διὰ τὸ περισσότερον μῖσος ὁποῦ εἶχε κατὰ τοῦ ῥηθέντος Σοφὶ Ἰσμαήλ, ὡς δεχθέντος τὴν αἵρεσιν τοῦ Σεϊτὰν-Κουλοῦ, καὶ τῇ συγκατανεύσει αὐτοῦ δεξαμένων ἤδη πάντων τῶν Περσῶν γνήσιον χαλίφην ἤτοι διάδοχον τοῦ Μωάμεθ μόνον τὸν Ἀλὴν καὶ ἀναθεματισάντων τοὺς λοιποὺς τρεῖς προκατόχους τοῦ Ἀλῆ, Ἐβουβέκιρ, δηλαδή, Ὀσμὰν καὶ Ὀμὲρ, ἀπεφάσισε νὰ ἐκστρατεύσῃ πρῶτον κατὰ τοῦ Σοφὶ Ἰσμαήλ.

Καὶ δῆτα διαπεράσας εἰς τὴν Ἀσίαν πολλῷ τῷ στρατῷ ἀπαντᾷ τοὺς Πέρσας εἰς τὸ Τέβρις, λεγόμενον τὸ πάλαι κατ' ἄλλους μὲν Κτησιφῶν, κατ' ἄλλους δὲ Περσέπολις. Συμβουλεύεται τοῖς ἐν τέλει τὸ ἂν πρέπῃ εὐθὺς νὰ ἐφορμήσῃ κατ' αὐτῶν ἢ νὰ δώσῃ ἀνάπαυλαν τῷ κεκοπιακότι ἐκ τῆς ὁδοιπορείας στρατῷ· ἀπεκρίθησαν ὅτι ἀναγκαία ἡ ἀνάπαυλα. Δὲν τὸν ἀρέσει ἡ γνώμη τους φρονῶν τὰ ἐναντία· ὅθεν ἐρωτᾷ τοῦ ἀπόντος ἀπὸ τὴν συνέλευσιν τεφτερδάρη Πιρὴ-πασσᾶ τὴν γνώμην, καὶ ὅς ἀπεκρίθη ὅτι ἐπιζήμιος ἡ ἀνάπαυλα. Ἤρεσεν ἡ γνώμη τῷ σουλτάνῳ τὰ αὐτὰ φρονοῦντι, καὶ ἐπαινέσας αὐτὸν τῆς συνέσεως ἐφορμᾷ εὐθὺς κεκανονιασμένοις ποσὶ κατὰ τῶν Περσῶν, ὄντος στρατηγοῦ τοῦ Σινὰν-πασσᾶ (ὅστις ἔκτισε τὸ παράλιον κιόσκι ὁποῦ σώζεται μέχρι τοῦ νῦν εἰς τὸ Δεμὶρ-καπὶ ἄντικρυ τοῦ Γαλατᾶ). Φρικτὸς ἐστάθη ὁ πόλεμος καὶ αἱματωδέστατος, ἀλλὰ μετὰ πολλὰ ἡττήθησαν οἱ Πέρσαι καὶ φεύγει νύκτωρ ὁ Σοφὶ Ἰσμαὴλ, φονευθέντων ἐν τῷ πολέμῳ τῶν στρατηγῶν τῆς Περσίας Μεχμὲτ-χὰν καὶ Τεκελὴ-χὰν καὶ πεσόντων ἑκατέρωθεν ἀναριθμήτων στρατιωτῶν. Δὲν κατεδίωξε τοὺς φεύγοντας ὁ Σελίμης διὰ τὸ σκότος τῆς νυκτὸς, ἀλλὰ λεηλατήσας τὸ καταλειφθὲν περσικὸν στρατόπεδον, καὶ εὑρὼν ἐν αὐτῷ θησαυροὺς ἀναριθμήτους τοῦ Σοφὶ Ἰσμαὴλ, καὶ ἐλευθερώσας τοὺς ζωγρηθέντας νέους τῶν Περσῶν, καὶ ἀποκαταστήσας βεζίρην ἤτοι Ἐπίτροπον καὶ σαχίπη-δεβλὲτ τὸν Πιρὴ-πασσᾶν, καὶ τῇ ἑξῆς γενόμενος κυριάρχης τῆς πόλεως Τέβρις ἀναιμωτὶ καὶ διορίσας ἐν αὐτῇ φυλακὴν ἐπανῆλθεν εἰς τὴν Ἀμάσειαν σκοπῷ τοῦ παραχειμᾶσαι ἐκεῖσε, καὶ ἀπέστειλεν εἰς τὴν Κωνσταντινούπολιν εἰς θρίαμβον τῆς νίκης του τὸν μουσικὸν Χουσεΐν, υἱὸν τοῦ Βικαρέρι, τοῦ ἐν Πέρσαις εὐγενεστάτου καὶ Μαικήνατος τῶν μουσικῶν τῆς Ἀσίας, ὅστις εἶναι ἄξιος τοιούτου τίτλου μὲ τὸ νὰ ἐφάνη ὑπερασπιστὴς τοῦ λεγομένου Χοτζὰ Μουσικὰρ (ὅπου ἦτον οἱονεὶ ὁ Ὀρφεὺς τῶν Περσῶν), καὶ τοῦ μαθητοῦ αὐτοῦ Γουλλὰμ-Ἀρέπ. Ὅλη ἡ Τουρκία καὶ ἡ Περσία ἐξέστη διὰ τὴν μελῳδίαν καὶ τὰ ᾄσματά του.

—

Ἔτει σωτηρίῳ 1515.

Τὸν Ἀντιοχείας Γρηγόριον τὸν Γ' πατριαρχεύσαντα ἔτη ὀκτὼ καὶ πρὸς Κύριον ἐκδημήσαντα διεδέχθη Μιχαὴλ ὁ Ε'.

Ἔαρος ἐπιφανέντος ἐφορμήσας ὁ σουλτὰν Σελὶμ ἥρπασε παρὰ τῶν Περσῶν τὰς πόλεις Γκιουμὰχ καὶ Βαϊβουρδούτ. Εἶτα πέμπει τὸν Φερχὰτ πασσᾶν μὲ στρατὸν κατὰ τοῦ ἡγεμόνος τοῦ Ἀλάϊ-Δεβλὲτ μεμλεκετὶ, υἱοῦ τοῦ Ζουλκαδὶρ, συμμάχου τῶν Περσῶν, καὶ καταλαβὼν ἀπροετοίμαστον αὐτὸν ὁ Φερχὰτ-πασσᾶς νικᾷ καὶ φονεύει, καὶ ὁ σουλτὰν Σελίμης δίδωσι τὰς ἐπαρχίας αὐτοῦ τῷ Ἀλὴ-πέῃ Σαχσοβάρογλου, μεγιστᾶνι ὄντι ποτὲ παρὰ Πέρσαις καὶ αὐτομολήσαντι τανῦν πρὸς τὸν σουλτὰν Σελίμην· καὶ μετὰ ταῦτα ἐπανῆλθε νικητὴς εἰς τὴν Κωνσταντινούπολιν κἀκεῖθεν ἀπῆλθεν εἰς τὴν Ἀδριανούπολιν. Καὶ ἤρξατο κτίζειν τὸ εἰς τὴν Ἀδριανούπολιν τζαμὶ ὑπὸ

ἀρχιτέκτονι ῥωμαίῳ τινι Κωνσταντινουπολίτῃ, ἐγγόνῳ τοῦ ἀρχιτέκτονος Χριστοδούλου τοῦ προῤῥηθέντος· (ἔχει τὸ τζαμὶ αὐτὸ παράθυρα 999)· εἶτα ἤρχησε νὰ κτίζῃ καὶ ἄλλο τζαμὶ εἰς τὴν Κωνσταντινούπολιν διὰ τοῦ αὐτοῦ ἀρχιτέκτονος, αὐτὸ ὁποῦ σώζεται ἐπάνω εἰς τὸν μαχαλὲν τοῦ Φαναρίου, καὶ εἰσὶ καὶ τὰ δύο πολυέξοδα καὶ μεγαλοπρεπῆ.

Ἤρξατο ὁ Λουθῆρος τῷ δὲ τῷ ἔτει διασύρειν καὶ καταβοᾷν κατὰ τῶν ἰνδουλγεντιῶν ἤτοι συγχωρητικῶν γραμμάτων τῶν πάπων τῆς Ῥώμης, ἐν τῇ Βιτεμβέργῃ, ἀλλὰ κακῇ τύχῃ ἐνταύτῳ ἐλάλει καὶ μὲ τρόπον αἱρετικόν.

—

Ἔτει σωτηρίῳ 1516, τοῦ Χιτζρὲ 922.

